κωφὰ καὶ παλαί' ἔπη (S OR 290) ψυχρὰ καὶ οὐδὲν σαφὲς ἔχοντα, τὰ ψιθυριζόμενα.

Κωφήν Κωφῆνος ὄνομα ποταμοῦ.

κωφῆς· Δαβὶδ "ὡσεὶ ἀσπίδος κωφῆς," οὐ τῆς κατὰ φύσιν κωφευούσης, ἀλλὰ βυούσης τὰ ὦτα καὶ ἀπωθουμένης τὴν ἐπῳδήν. Theodoret. in Ps. 57 5.

κωφόν ἄηχον, ἀσθενές, ἀμβλύ· (Hom. Λ 390) "κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος." κατὰ μεταφορὰν ἀπὸ τοῦ κατὰ τὴν ἀκοὴν ἐπὶ τὴν ἁφήν.

κωφότερος κίχλης παρ' Εὐβούλῳ ἐν Διονυσίῳ λέγεται ἀφωνότερος κίχλης.

κωφότερος τοῦ Τορωναίου λιμένος. περὶ Τορώνην τῆς Θρᾴκης καλεῖταί τις κωφὸς λιμήν. εἴρηται δὲ ἡ παροιμία παρ' ὅσον ὁ ἐν Τορώνῃ τῆς Θρᾴκης λιμὴν στενὰς ἔχει καὶ μακρὰς τὰς ἀπὸ τοῦ πελάγους καταρσεις, ὡς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ τὸν τῆς θαλάττης ἦχον.

κωχεύει συνουσιάζει.

a λᾶας λίθος· ἐν ἐπιγράμμασι ⟨AP 6 67⟩ "πολυτρήτου τ' ἀπὸ πέτρης λᾶαν, ὃς ἀμβλεῖαν θῆγε γένυν καλάμου."

b λᾶας λίθος. καὶ λάου λίθου, ἀπὸ τῆς λάος εὐθείας, γενομένης ἀπὸ γενικῆς τῆς λᾶος, "λᾶος ὑπαὶ ῥιπῆς" ⟨Hom. Μ 462⟩. "λέχριός γ' ἐπ' ἄκρου λάου βραχὺς ὀκλάσας" ⟨S OC 196⟩.

λαβαῖς ἐπαφαῖς, ἢ ἀφορμαῖς, ἢ μέμψεσι. λαβὰς δὲ ἀμφιστόμους τὰ ὦτα τοῦ κρατῆρος, ἤτοι τὰς ἀμφοτέρωθεν ἐξομωμένας, ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ στόματος ταύτας εἶναι, ἢ τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας. "ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους" ⟨S OC 473⟩, τουτέστιν ἔρεψον καὶ τῶν κρατήρων τὴν κεφαλήν. "ὅτι Ραγώας ὁ Αἰγύπτιος ἔσφαξεν Ὦχον τὸν Πέρσην, καὶ τὰ μὲν κρέατα ἔφαγε, τὰ δὲ ὀστέα μαχαιρῶν εἰργάσατο λαβάς." καὶ αὖθις "λαβαὶ φιλοσοφίας ἀριθμητικὴ καὶ γεωμετρική."

λαβεῖν τιμωρίαν ἐκδικηθῆναι.

λάβῃ αὐθυπότακτον.

Λαβίνιος ὄνομα κύριον.

λαβραγόρην ⟨Hom. Ψ 479⟩ σφοδρῶς δημηγοροῦντα.

λάβραξ εἶδος ἰχθύος. καὶ παροιμία "λάβρακας Μιλησίους." τὴν δὲ προσηγορίαν πεποίηται, διότι κέχηνεν αὐτοῦ τὸ στόμα, καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει· ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι γίνονται λάβρακες καὶ πλεῖστοι. Μίλητος δὲ πόλις Ἀσίας, ἔνθα πολλοὶ γίνονται λάβρακες διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς τὴν θάλασσαν· χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ τῆς θαλάσσης, καὶ οὕτω πληθύνουσι παρὰ Μιλησίοις. sch. A Eq. 360.

λαβρότατος.

λαβρώνιον εἶδος ἐκπώματος. καὶ λαβρώνιος.

λαβύρινθος κοχλιοειδὴς τόπος. λέγεται δὲ ἐπὶ τῶν φλυάρων, παρὰ τὸ μὴ λαβεῖν θύραν, ἢ παρὰ τὸ πολλοῖς λόγων κύκλοις κεχρῆσθαι. σημαίνει δὲ καὶ τὸ τῶν ἀντριάδων νυμφῶν ἀνάθημα· ⟨AP 6 224⟩ "εἰν ἁλὶ λαβύρινθε, τύ μοι λέγε, τίς σ' ἀνέθηκεν ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος;"

λάγανα πλακουντάρια, ὡς καπυρώδη, παρὰ τὸ λαγαρόν. καὶ ⟨A Vesp. 674⟩ "λαγαριζόμενον καὶ τρώγοντα τὸ μηδέν." καὶ Δαβὶδ ⟨2 Sam. 6⟩ θύσας ἐπὶ τῇ τῆς κιβωτοῦ μεταθέσει γυναιξὶ καὶ ἀνδράσι καὶ νηπίοις διέδωκε κολλουρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λαγανιστὸν ⟨an λάγανον τηγανιστὸν⟩ καὶ μερίδα θύματος.

λαγαριζόμενον· Ἀριστοφάνης ⟨Vesp 673⟩ "ὡς ἥσθηνται τὸν σύρφακα ἐκ κηθαρίου λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδέν."

λαγαρόν ὑπόκενον. "ἐμηχανῶντο δὲ ὅσα λαγαρότητι ἢ ἁπαλότητι πρὸς τὰς τοξείας ἀντήρκει." καὶ ἐν ἐπιγράμμασι ⟨AP 5 264⟩ "καὶ λαγαρὸν δειρῇ δέρμα περικρέμαται," καὶ αὖθις ⟨AP 6 231⟩ "σοὶ γὰρ ὑπὲρ σχιδάκων λαγαρὸν ποπάνευμα πρόκειται."

Λαγγόβαρδος ἐθνικόν.

λάγειον αἷμα τὸ τοῦ λαγωοῦ.

λαγιδεύς ὁ τοῦ λαγωοῦ.

Λαγίσκα ἑταίρα τις, ἧς Λυσίας μνημονεύει. Harp.

λαγνεία πορνεία.

λάγνης, ἀρσενικῶς, ἀντὶ τοῦ λάγνος.

λάγνος πόρνος, αἰσχρός, καταφερὴς πρὸς τὰ ἀφροδίσια.

Λαγόβιος ὄνομα κύριον.

Λαγόνος.

Λαγορία ὄνομα πόλεως.

Λάγος ὄνομα κύριον, ὃς Ἀρσινόην ἔγημε

τὴν Πτολεμαίου τοῦ σωτῆρος μητέρα. τοῦτον δὲ τὸν Πτολεμαῖον ἐδὲν οἱ προσήκοντα ἐξέθηκεν ἄρα ὁ Λάγος ἐπ' ἀσπίδος χαλκῆς. διαρρεῖ δὲ λόγος ἐκ Μακεδονίας, ὃς λέγει ἀετὸν ἐπιφοιτῶντα καὶ τὰς πτέρυγας ὑπερτείνοντα καὶ ἑαυτὸν αἰωροῦντα ἀποςέγειν αὐτοῦ καὶ τὴν ἄκρατον ἀκτῖνα καὶ ὅτε ὕοι τὸν πολὺν ὑετόν, τούς γε μὴν ἀγελαίες φοβεῖν ὄρνιθας, διασπᾶν δὲ ὄρτυγας, καὶ τὸ αἷμα αὐτῷ παρέχειν τροφὴν ὡς γάλα.

a λάγυνος ὁ πανδεκτικός.

b λάγυνος· ⟨AP 6 248⟩ "Κύπριδι κεῖσο, λάγυνε μεθυσφαλές, αὐτίκα δῶρον κεῖσο, κασιγνήτη νεκταρέης κύλικος βακχείας, ὑγρόφθογγε, συνέςιε δαιτὸς ἐίσης, ςειναύχην, ψήφου συμβολικῆς θύγατερ, θνητοῖς αὐτοδίδακτε διήκονε, μύςι φιλούντων ἡδίςη, δείπνων ὅπλον ἑτοιμότατον."

λαγωβολεῖον ἐν ᾧ τὲς λαγωὲς ἀγρεύουσι.

λαγώδιον.

λαγῴοις τοῖς τοῦ λαγωοῦ κρέασιν· Ἀριςοφάνης ⟨Vesp. 729⟩ "ἔζων δύο μυριάδες τῶν δημοτικῶν ἐν λαγῴοις καὶ ςεφάνοισιν παντοδαποῖσιν."

λαγῷ πεινῶντι καὶ πλακοῦντες εἰς σῦκα, παροιμία πρὸς τοὺς τὰ ἐν ἀνάγκη πολυτελῆ λογιζομένους.

λαγὼς καθεύδων, ἐπὶ τῶν προσποιεμένων καθεύδειν. λέγεται καὶ λαγωός λαγωῦ. ἐν ἐπιγράμματι ⟨AP 7 207⟩ "τὸν ταχύπεν ἔτι παῖδα συναρπασθέντα τεκέσης ἄρτι μ' ἀπὸ ςέρνων, οὐατόεντα λαγών."

λαγὼς περὶ τῶν κρεῶν παροιμία· δειλὸν γὰρ τὸ ζῷον ὁ λαγώς. ὅθεν καὶ ὁ Ῥηγῖνος λαγὼς ἐλέχθη· καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμῴδουν. παροιμία δέ τις ἐςὶν "ὁ λαγὼς τὴν περὶ τῶν κρεῶν τρέχει," ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων ταττομένη. καὶ παροιμία "ὁ Καρπάθιος τὸν λαγών" ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων· οἱ γὰρ Καρπάθιοι νῆσον οἰκοῦντες καὶ λαγωοὺς ὀκ ἔχοντες ἐπηγάγοντο· οἳ πολλοὶ γενόμενοι ἐλυμαίνοντο τοὺς καρπούς.

Λαδικέας· ἐν ἐπιγράμματι ⟨AP append. 132⟩ "ἀσπίδα φρῦνον ὄφιν καὶ Λαδικέας περίφευγε."

Λάδων ποταμὸς Ἀρκαδίας.

λάειν βλέπειν, καὶ ἀλαός ὁ τυφλός.

Λάϊειος φόνος ὁ τοῦ Λαΐου.

λάθε βιώσας· "τοῦ τε ἐν παροιμίᾳ λέγεσθαι εἰωθότος ἔργῳ βεβαιωθέντος ὑπ' ἐκείνου, τοῦ λάθε βιώσας, ὥςε οὐδένα τῶν τότε ζώντων ἀνθρώπων οὔτε τῶν πρεσβυτέρων ἐλπίσαιμ' ἂν εἰδέναι οἷον λέγω." cf. v. Σαραπίων b.

λαθικηδέα μαζόν ⟨Hom. X 83⟩ λήθην κήδους τῷ παιδὶ ἐμποιοῦντα.

λαθικηδής ὁ λήθην κακῶν ποιῶν.

λαθραίως καὶ λαθρηδά καὶ λαθρηδόν ἀντὶ τοῦ κρύφα.

λάθωμαι γενικῇ.

λαιά ἀριςερά, ἢ κολοβά.

λάιγγες ⟨Hom. ε 433⟩ οἱ μικροὶ λίθοι.

λαιδρός ὁ θρασύς.

λαίεται καταλύεται.

λαίθαργος λαθροδήκτης· "σαίνεις δάκνουσα, καὶ κύων λαίθαργος εἶ." παροιμία ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρᾳ. sch. A Eq. 1028.

λαιθυράζω χλευάζω.

λαικάζω ἀπατῶ.

λαικαςής ὁ πόρνος. Ἀριςοφάνης ⟨Ach. 79⟩ "λαικαςάς τε καὶ καταπύγονας," τετέςι τοὺς πόρνες. ὁ αὐτός ⟨Thesm. 58⟩ "κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν, τὰ δὲ τορνεύει καὶ γογγυλίζει καὶ λαικάζει." καὶ λαικάςρια ἡ πόρνη.

λαίλας ὁ μὴ ἐκ γένους τύραννος.

λαῖλαψ μετ' ἀνέμων ὄμβρος καὶ σκότος· ⟨Theophyl. 2 7⟩ "ὃ δὲ οἷά τις λαῖλαψ ἐπιθαλάττιος ἢ ῥαγδαῖος σκηπτὸς ἐξαπιναίως ἐπεφοίτησε." καὶ αὖθις ⟨AP 6 245⟩ "λαίλαπι βορραίῃ κλασθὲν ἐπεῖδε κέρας," τῇ ἐκ τοῦ βορρᾶ.

Λαίλιος ὄνομα κύριον.

λαῖμα τὸ αἷμα· παραπεποίηται δὲ παρὰ a
τὸ λαιμόν. οἱ δὲ λαῖμα, τουτέςιν ὅρμημα. ἔτι μέντοι τῶν περὶ τὴν Ἀσίαν τινὲς ἐπὶ τῶν ἀναιδῶν καὶ ἐκτόλμων οὕτω λέγουσιν. Ἀριςοφάνης Ὄρνισι ⟨1562⟩ "κᾆτ' ἀνῆλθ' αὐτῷ κάτωθεν πρὸς τὸ λαῖμα τοῦ καμήλου Χαιρεφῶν ἡ νυκτερίς."

λαῖμα τὸ ἱερόν, θῦμα. b

λαιμαργία ἡ σύντονος ἐπιθυμία.

λαιμάσσω ἀμέτρως ἐσθίω.

λαιμοπέδη δι' ἧς δεσμεῖται ὁ κύων. ἐν ἐπιγράμματι ⟨AP 6 35⟩ "καὶ τὰν εὐρίνων λαιμοπέδαν σκυλάκων."

**λαιμωδῶ** δραπετεύω.

**λαιμώρη** ἡ λαμυρίς.

**Λαίνιλλα.**

**λάινον ἕσσο χιτῶνα** (Hom. Γ 57) λιθόλευςος ἐγεγόνεις.

**λαιόν** τὸ ἀριςερόν.

**Λάιος** ὁ Θηβῶν βασιλεύς. ἐν τῷ Οἰδίπους.

**Λαιπάνης.**

**Λαΐς** Λαΐδος ἡ ἑταιρίς. ἔςιν ἐν τῷ Χελώνῃ.

**λαισήιον** μικρὰ ἀσπίς.

**λαίσθη** (an λάσθη) αἰσχύνη.

**Λαισίνη** ὄνομα πόλεως, καὶ κύριον.

**λαίσκαπρος** ὁ λάγνος.

**Λαισκίδης.**

**Λαισποδίας εἰ τὴν φύσιν** (A Av. 1568), ἀντὶ τοῦ τὴν κνήμην ἔχεις σαθράν· Λαισποδίας γὰρ καὶ Δαμασίας ὡς κακόκνημοι διεβάλλοντο. τοῦτον δὲ τὸν Λαισποδίαν καὶ ςρατηγῆσαί φησι Θουκυδίδης ἐν τῇ η' (86). ἦν δὲ καὶ φιλόδικος. εἶχε δὲ καὶ περὶ τὰς κνήμας αἰτίας τινάς· διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον. ἢ ὡς Ἰξίων ἐν ταῖς λέξεσιν, ὁ ἀκρατὴς περὶ τὰ ἀφροδίσια, ὥςε καὶ κτήνη σποδεῖν.

**λαιςόν** τὸ ἀχθεινόν.

**λαιςρόν** πρυτανεῖον.

**Λαιςρυγονία** πόλις Λαιςρυγόνος (Hom. κ 106).

**λαῖτμα** κῦμα, καὶ βάθος.

**λάιτον** τὸ ἀρχεῖον.

**Λαιφάνεια** ὄνομα πόλεως.

**λαίφη**, θηλυκῶς, ἡ χλανίς· (Callim. fr. 245) "διερὴν ἀπεσείσατο λαίφην."

**λαῖφος** ἄρμενον, ἱςίον, ἱμάτιον. καὶ ἡ δοτικὴ τῷ λαίφει.

**λαιψηρόν** τὸ ἀσθενές. ἢ τὸ ταχύ, ἐλαφρόν. Λάκωνες τὸ ἡμίξηρον.

**Λάκαινα κύων**· Σοφοκλῆς (Ai. 8) "κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις."

**λακάνη.** τὸ μὲν κοινὸν λακάνη, παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ χαίνειν, πλατὺ γάρ· τὸ δὲ Ἀττικὸν λεκάνη. sch. A Av. 1142.

**Λακεδαίμονος.**

**Λακέρεια** ὄνομα πόλεως.

**λακέρυζα κορώνη** (Hesiod. O. 745) ἡ μεγάλα κρώζουσα.

**λακερύζεσθαι** λογοποιεῖσθαι, ἢ λοιδορεῖσθαι.

**λακίδας πεπλωμάτων** τὰ διερρωγότα ἱμάτια παρὰ Ἀριςοφάνει (Ach. 398).

**Λακίνιον** ὄρος Κρότωνος, καὶ Λακινία τόπος.

**λάκισμα** σχίσμα. "εὗρον τὸν χιτῶνα ἡμαγμένον καὶ λελακισμένον" ἀντὶ τοῦ ἐσχισμένον.

**λακίσματα μελῶν** (Greg. Naz. or. 22 p. 404 D) τὰ τῶν σαρκῶν ἀποσχίσματα. καὶ αὖθις (Menand. p. 381 Nieb.) "εἶτα οἱ Τοῦρκοι περιέφερον τὸ φυλλῶδες τοῦ λιβάνου τῇ φλογὶ λακιζόμενον."

**λακκαῖον ὕδωρ** τὸ ἀπὸ λάκκου.

**λακκόπλουτον.** Καλλίαν τὸν Ἀθηναῖον οὕτως ἔλεγον ἐξ αἰτίας τοιαύτης. Ξέρξην ἡττηθέντα ἐν τῇ περὶ Σαλαμῖνι ναυμαχίᾳ φυγεῖν ἐξ Ἀθηνῶν, ἐςαθμευκότος δέ τινος τῶν Περσῶν ἐν τοῖς Καλλίου καὶ τὴν ἀποσκευὴν ἐκεῖ καταλελοιπότος, τῶν δὲ βαρβάρων ὀξεῖαν τὴν φυγὴν ποιησαμένων, ἐμβαλεῖν τοὺς οἰκέτας τοῦ Πέρσου πολὺν χρυσὸν εἰς λάκκον, ἐλπίζοντας ὕςερον ἀνασώσειν ἐπανελθόντας. οὐ μὴν γενέσθαι λέγεται· πρότερον γὰρ κυριεῦσαι τῶν χρημάτων Καλλίαν.

**λακκόπρωκτος**· Ἀριστοφάνης (Nub. 1333) "ὦ λακκόπρωκτε. πάττε πολλοῖς τοῖς ῥόδοις. ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά;"

**λάκκος.** Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλ- a
λήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ ςρογγύλα καὶ τετράγωνα, καὶ ταῦτα κονιῶντες, οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά· καὶ ταῦτα λάκκους ἐκάλουν. sch. A Eccl. 154.

**λάκκος** ὁ θάνατος, ἐπειδὴ λάκκῳ παρα- b
πλησίως ὁ τάφος ὀρύττεται· Δαβὶδ "καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον." καὶ τοὺς μεγάλους κινδύνους οὕτως ἔθος ὀνομάζειν τῇ θείᾳ γραφῇ· "καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας." Theodoret. in Ps. 27 1.

**Λακρατίδης.** οὗτος ἀρχαῖος ἄρχων Ἀθήνησιν. ἦρχε δὲ ἐπὶ τῶν χρόνων Δαρείου· ἐφ' οὗ πλείςη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδας ἐκάλουν. Ἀριςοφάνης (Ach. 219) "παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται," ὃ ἔςι, διὰ τὸ γῆρας οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.

**λάκτιν** τὴν λεγομένην κώταλιν, τορύνην,

ὁ ἔςι ζωμήρυσιν· (Callim. fr. 178) "εὐεργέα λάκτιν."

*Λακύδης* Ἀλεξάνδρου Κυρηναῖος φιλόσοφος, ὃς τῆς νέας Ἀκαδημείας κατῆρξεν, ἔγραψε φιλόσοφα, καὶ περὶ φύσεως.

*λακωνίζω* τὰ τῶν Λακώνων φρονῶ· "οἱ μὲν ἠττικίκασιν, οἱ δὲ λελακωνίκασιν." *λακωνίζειν* δὲ παιδικοῖς χρῆσθαι Ἀριςοφάνης Θεσμοφοριαζούσαις β΄.

*Λακωνικαί* ἀνδρεῖα ὑποδήματα· "καὶ ποῦ πέος; ποῦ χλαῖνα; ποῦ λακωνικαί;" Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (149). καὶ ἐν ἐπιγράμματι (AP 6 292) "τοί τε Λάκωνες πέπλοι."

*Λακωνικαὶ κλεῖδες.* περιβόητοι δέ εἰσιν αὗται. ὁ αὐτὸς Ἀριςοφάνης (Thesm. 428) "οἱ γὰρ ἄνδρες ἤδη κλειδία φοροῦσι κρυπτά, κακοηθέςατα, Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους." τὰ γὰρ ἀρχαῖα μονοβάλανά φασιν εἶναι. Μένανδρος Μισουμέναις "Λακωνικὴ κλείς ἐςιν ὥς ἔοικέ μοι περιοιςέα." φησὶν ὅτι ἔξωθεν περικλείεται, μοχλοῦ περιτιθεμένου ἤ τινος τοιούτου, ὥςε τοῖς ἔνδον μὴ εἶναι ἀνοῖξαι.

*Λακωνικὴ τάξις,* ἣ κατὰ τοὺς ἄνω πολέμους ἀρίςη τῶν πρόσθεν γενέσθαι δοκεῖ. εἰς πεντηκοςύας καὶ ἐνωμοτίας καὶ μόρας διῃροῦντο αἱ τάξεις· καὶ ἦν ὁ ἐλάχιςος ἀριθμὸς τῆς ἐνωμοτίας ἀνδρῶν ε΄ καὶ κ΄.

*Λακωνικὸν τρόπον περαίνειν,* ἢ παρέχειν ἑαυτὰς τοῖς ξένοις· ἥκιςα γὰρ τὰς γυναῖκας φυλάσσουσιν οἱ Λάκωνες.

*Λακωνικός* ὁ ςερρὸς καὶ ἀνδρεῖος· τοιοῦτοι γὰρ οἱ Λάκωνες. καὶ *Λακωνικὸν πνέων* ἀντὶ τοῦ ἰσχυρόν· ἢ τὰ Λακώνων φρονῶν. καὶ ἐπίρρημα· "λακωνικῶς ταῦτα καὶ συντόμως λέγω" (Iulian. ep. 59 p. 445 C) ἀντὶ τοῦ ἀνδρείως.

*λακωνισμός* ἡ πρὸς τοὺς Λάκωνας οἰκειότης, ὥσπερ ἀττικισμὸς ἡ πρὸς τὰς Ἀττικούς.

*λαλαγεῦσαν* ἐμμελῶς φωνοῦσαν· ἐν ἐπιγράμματι (AP 6 54) "τὰν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἀχὼ πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίας."

*λαλάγημα* τὸ ἀναφώνημα, τὸ ἦχημα· (AP 6 220) "ἱρήν σοι θαλάμην, ζωάγρια καὶ λαλάγημα ἀντίθεμαι."

*λαλέοντος* λαλοῦντος.

*λαλητέος·* (AP 7 47) "ὤπασ' Ἀχαιὶς μνῆμα σόν γ', Εὐριπίδη· οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος."

*λαλιά* ἡ δημηγορία· "ἦν δὲ ὁ Ἀρκεσίλαος ἐν τῇ λαλιᾷ διαςατικὸς τῶν ὀνομάτων καὶ παρρησιαςὴς ἱκανῶς" (Diog. L. 4 33).

*λαλίςατον* τὸ κατὰ λόγον σοφόν. λέγεται δὲ καὶ ὁ εὔγλωττος καὶ ὁ εὐφωνότατος.

*λαλίςερον* ἀδολεσχίςερον, φλυαρότερον.

*λαλῶ* δοτικῇ.

*Λαμάχων.* Λάμαχος Ἀθηναίων ςρατηγὸς ῥιψοκίνδυνος, ὃν ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι ἐχειροτόνησαν μετὰ Ἀλκιβιάδε καὶ Νικίου. ἦν δὲ καὶ φιλοπόλεμος. Ἀριςοφάνης (Ach. 269) "σπονδὰς ποιησάμενος ἐμαυτῷ, πραγμάτων τε καὶ μαχῶν καὶ Λαμάχων ἀπαλλαγείς· πολλῷ γάρ ἐσθ' ἥδιον."

*Λάμεχ.* δύο Λάμεχ ἡ γραφὴ μέμνηται, ἑνὸς μὲν τοῦ ἀπὸ Κάιν, ἑνὸς δὲ τοῦ πατρὸς Ἐνώχ. γεγένηται δὲ Νῶε διὰ Λάμεχ, οὐχ ἐκ τοῦ ἀπὸ Κάιν τοῦ καὶ πεφονευκότος ἄνδρα τε καὶ νεανίσκον εἰς μώλωπα, καὶ ὡς δύο φόνους πεποιηκὼς καὶ τῶν δύο τὰς γυναῖκας εἰληφὼς Ἐλδὰν καὶ Σελλὰν ἑαυτοῦ καταμέμφεται, ἑβδομηκοντάκις ἑπτὰ ἄξιον εἶναι κολάσεως. "ἐκ μὲν τοῦ Κάιν" φησίν "ἐκδεδίκηται ἑπτάκις, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά." κολάζεται μειζόνως, διότι τῇ πτώσει τοῦ προημαρτηκότος οὐκ ἐσωφρονίσθη. τοῦ δικαίου γὰρ Ἐνὼχ ἀδελφοὺς ἀνεῖλε, τῷ πίςει διὰ τοῦτο προσευξαμένου μὴ ἰδεῖν τοιοῦτον θάνατον, καὶ ἀκουσθεὶς μετετέθη. ἦν δὲ ὁ Ἐνὼχ ἐκ τοῦ δικαίου Σήθ, ἐξ οὗ ὁ Χριςὸς κατάγεται γενεαλογούμενος ὑπὸ Λουκᾶ. ἐσπούδαζεν οὖν τῶν ἀσεβῶν τὸ σπέρμα τῶν δικαίων ἐξᾶραι τὸ γένος, ἐπειδὴ βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια. καὶ γὰρ τὸ γένος καὶ σπέρμα τοῦ μὲν Κάιν κατηράθη, τοῦ δὲ Σὴθ εὐλογήθη. καὶ οὐκ ἐβούλετο ὁ θεὸς ἐπιμιξίαν γενέσθαι τῶν δικαίων τὸ γένος πρὸς τὸ τῶν ἀσεβῶν, ἀλλ' ἐξαλειφθῆναι. ἐπεὶ οὖν ἐφόνευον καὶ ἐλάμβανον τὰς γυναῖκας αὐτῶν, ἐξαίσια τέρατα ἐτίκτοντο οἱ γίγαντες· δι' οὓς καὶ ὁ κατακλυσμὸς ἐλθὼν πάντας ἄρδην ἀπώλεσε. μόνος δὲ Νῶε δίκαιος εὑρεθεὶς ἐν τῇ γενεᾷ αὐτῇ ἐφυλάχθη.

*Λάμια.* ταύτην ἐν τῇ Λιβύῃ Δοῦρις ἐν β΄ Λιβυκῶν ἱςορεῖ γυναῖκα καλὴν γενέσθαι, μιχθέντος δὲ αὐτῇ Διὸς ὑφ' Ἥρας ζηλοτυπουμένην ἃ ἔτικτεν ἀπολλύναι· διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν

ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν (sch. A Vesp. 1030). ἔϛι δὲ καὶ πόλις Θεσσαλίας, ὅθεν ὁρμηθέντες οἱ Ἕλληνες μετὰ τὸν Ἀλεξάνδρου θάνατον, Ἀθηναίων ἡγεμένων, τῆς ἐλευθερίας ἀντιποιησάμενοι τὸν Ἀντίπατρον ἐνίκησαν· Μένανδρος Ἀνδρογύνῳ "πλήσας γὰρ ἔφθειρ' ἐκ παρατάξεώς ποθεν τὰς ἐν Λαμίᾳ πάσας."

b Λάμια θηρίον, ἀπὸ τοῦ ἔχειν μέγαν λαιμόν, λαίμια καὶ λάμια. Ἀριϛοφάνης (Vesp. 1030) "φώκης δ' ὀσμήν, λαμίας δ' ὄρχεις ἀπλύτους·" δραϛικοὶ γὰρ οἱ ὄρχεις. εἰδωλοποιεῖ δέ τινας ὄρχεις λαμίας· θῆλυ γάρ.

Λάμος πόλις Λαιϛρυγόνων.

λαμπαδεύεσθαι· "Ἀριστύγονος οὖν Διονύσου μύστης λαμπαδεύεσθαι μέλλων, εἶτα μέντοι τὰ δεξιὰ παρείθη μέρη."

λαμπάδιον, ὃ νῦν λαμπάδα καλοῦσιν. οὕτω Δείναρχος καὶ Πλάτων (Rp. 1 p. 328 A).

λαμπάδιον περὶ τὸ σφυρόν. οἳ μὲν τὸ λεπτὸν χειρίδιον, οἳ δὲ ἐπιδέσμου εἶδος, οἳ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν τὸν ναρθηκίζοντα τὸ σφυρόν, οἳ δὲ τὰ ἔμμοτα. Ἀριστοφάνης (Ach. 1176) "λαμπάδια περὶ τὸ σφυρόν· ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον." ὅτι Τραϊανὸς ὁ βασιλεὺς τοὺς τετρωμένȣς ἐν πολέμῳ ἐθεράπευεν, ἐπιλειπόντων δέ σφας τῶν ἐπιδέσμων, οὐδὲ τῆς ἑαυτοῦ ἐσθῆτος ἐφείσατο, ἀλλ' εἰς τὰ λαμπάδια αὐτὴν κατέτεμε πᾶσαν (Dio Cass. 68 8).

λαμπάδος. τρεῖς ἄγȣσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδος, παναθηναίοις ἡφαιϛείοις καὶ προμηθείοις. Ἴϛρος δέ φησι λαμπάδα νομίσαι ποιεῖν πρῶτον Ἀθηναίους Ἡφαίϛῳ θύοντας, ὑπόμνημα τοῦ κατανοήσαντα τὴν χρείαν τοῦ πυρὸς διδάξαι τȣς ἄλλȣς. Harp.

λαμπετόωντι (Hom. *A* 104) λάμποντι.

λαμπηδόνος.

λαμπήνη ἅμαξα βασιλική, ἧρδιον περιφανές, ὅ ἐϛιν ἅρμα σκεπαϛόν. cf. v. ἧρδιον.

Λαμπιτώ· (A Lys. 997) "ἀλλ' ἀρχὰ μὲν οἴω Λαμπιτώ" ἀντὶ τοῦ, ὡς οἴομαι, ἀρχὴ τῆς μάχης ἡ Λαμπιτώ.

λαμπρὰν ἡμέραν λέγȣσιν, οὐ καθαράν.

λαμπρειμονῶ, ὥσπερ καὶ τὸ λευχειμονῶ.

Λαμπρίας Πλȣτάρχȣ τοῦ Χαιρωνέως υἱὸς ἔγραψε πίνακα ὧν ὁ πατὴρ αὐτȣ̃ ἔγραψε περὶ πάσης Ἑλληνικῆς καὶ Ῥωμαϊκῆς ἱϛορίας.

λαμπροείμων λαμπροφορῶν.

λαμπροφόροι· Ἀριϛοφάνης (Lys. 1002) "οἱ γὰρ ἄνδρες ὥσπερ λαμπροφόροι ὄντες ἀποκεκύφαμεν·" οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον. cf. v. ἀποκεκύφαμεν.

λαμπρόψυχος ἀντὶ τοῦ μεγαλόψυχος.

λαμπρύνομαι δοτικῇ.

λαμπρυνομένων ἀντὶ τȣ̃ καυχωμένων καὶ νικώντων ἐν τοῖς ἅρμασι.

λαμπρῶς τὸ φανερῶς, οὐ τὸ ἐνδόξως, καὶ παρὰ Θουκυδίδῃ (2 7) "καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν" καὶ παρὰ τοῖς ἄλλοις τοῖς παλαιοῖς. καὶ αὖθις (Procop. Pers. 2 5) "καὶ τὴν ἀπέρατον καλουμένην εἰρήνην λαμπρῶς ἔλυε."

λαμπτῆρες οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι· "ἡνίχ' ἕσπεροι λαμπτῆρες οὐκέτ' ᾖθον" (S Ai. 285).

Λαμπτραί δῆμος τῆς Ἐρεχθηίδος. δύο δέ εἰσι Λαμπτραί, αἳ μὲν παράλιοι αἳ δὲ καθύπερθεν. Harp.

Λάμπων ὄμνυσι τὸν χῆν', ὅταν ἐξαπατᾷ τινά (A Av. 524). πρῶτοι οἱ Σωκρατικοὶ ἐπετήδευσαν οὕτως ὀμνύναι. Ῥαδάμανθυς δὲ πρῶτος οὐκ εἴα ὅρκȣς ποιεῖσθαι κατὰ θεῶν, ἀλλ' ὀμνύναι χῆνα καὶ κύνα καὶ κριὸν καὶ τὰ ὅμοια. ὁ δὲ Λάμπων θύτης ἦν, χρησμολόγος καὶ μάντις· ᾧ καὶ τὴν εἰς Σύβαριν ἀποικίαν Ἀθηναίων περιάπτουσιν. ὤμνυε δὲ κατὰ τοῦ χηνὸς ὡς μαντικοῦ ὀρνέου. εἴρηται οὖν ἐπὶ τῶν μετὰ ὅρκου ἐξαπατώντων τινά.

λαμυρόν εὔλαλον, εὐτράπελον, καταπληκτικόν, τερπνόν. ἐν ἐπιγράμματι (AP 5 180) "βροτολοιγὸς ἔρως τὰ πυρίπνοα τόξα βάλλει, καὶ λαμυροῖς ὄμμασι πικρὰ γελᾷ." καὶ αὖθις (AP 7 221) "ἐσβέσθη δὲ τὰ φίλτρα καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις." καὶ λαμυρώτερον.

λὰξ ἐντείνων λακκίσματι τύπτων. λὰξ δέ ἐϛιν ὁ ὑπὸ τοὺς δακτύλους τοῦ ποδὸς ποιὸς ψόφος.

λαξευτήριον ἐργαλεῖον οἰκοδομικόν· λαοξόος γὰρ ὁ οἰκοδόμος.

λάξιν μῖξιν, μερισμόν, κλῆρον. Ἡρόδοτος (4 21).

λὰξ ποδὶ κινήσας (Hom. *K* 158) τῷ πλάτει τοῦ ποδὸς κινήσας.

λαοσσόος (Hom. *N* 128) ἡ τοὺς λαοὺς σώζουσα.

λάπαθον ὄρυγμα εἰς θηρίων ἐνέδραν.

καὶ λάχανον κενωτικὸν γαςρός, ὅθεν καὶ τὸ λαπάξαι κενῶσαι· Ὅμηρος ⟨Λ 503⟩ "νέων ἀλάπαξε φάλαγγας" ἀντὶ τοῦ πορθῶν ἐκένϐ.

λαπήνη ἡ ἅμαξα.

Λαπίθης ὄνομα κύριον. καὶ Λαπίθαι τὸ πληθυντικόν.

λαπιςής ψεύςης, προπετής.

λαπίςρια μετεωριζομένη, ῥεμβομένη, θέλουσα εὐωχεῖσθαι.

λάπτειν τὸ ἐκκενοῦν. καὶ λάπτοντες τῇ γλώσσῃ πίνοντες.

λαρινεύειν τὸ σιτεύειν.

λαρινοὶ βόες οἱ ἐν Ἠπείρῳ, ἀπὸ Λαρίνου βουκόλου κλέψαντος τὰς Ἡρακλέους βοῦς, ὡς Λύκος ὁ Ῥηγῖνος, ὅτε τὰς Γηρυόνου βοῦς ἤλαυνε. Πρόξενος δὲ αὐτὸν τὸν Ἡρακλέα ἀνεῖναί τινας τῷ Δωδωναίῳ Διί. Ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς λαρινούς· λαρινεύειν γὰρ τὸ σιτεύειν. Ἀριςοφάνης Ὄρνισι ⟨465⟩ "ζητῶ τι λαρινὸν ἔπος, ὃ τὴν τούτων θραύσει ψυχήν," ἀντὶ τοῦ μέγα, ἀπὸ μεταφορᾶς τῶν βοῶν. ἀπὸ Λαρίνϐ τινὸς βουκόλου ταύτην τὴν προσηγορίαν ἐσχηκέναι. εἰσὶ δέ τινες οἳ παρὰ τὸ λαρὸν ἀξιῦσιν αὐτοὺς οὕτω καλεῖσθαι. οἱ δὲ τὴν ρι συλλαβὴν δασύνουσιν, ἵν' ᾖ λαῤῥινούς, τοὺς μεγαλορίνους· ἐν δὲ τῇ Χαονίᾳ φασὶ τοιύτϐς εἶναι βοῦς, οὓς καὶ Κεςρινοὺς καλῦσιν. ἢ οἱ μεγάλοι καὶ εὐτραφεῖς, ἀπὸ Λαρίνου βουκόλου. Ἡρωδιανὸς ὀξυτόνως ὡς ἀληθινός.

λαρινός ὁ ἡδύς.

Λάρισα ὄνομα πόλεως.

λάρκος πλέγμα τι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρονται ἄνθρακες ⟨sch. A Ach. 332⟩· "ὁ λάρκος δημότης ὅδ' ἔς' ἐμός" ⟨A Ach. 314⟩. "ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν ὁ λάρκος ἐπετίλησεν ὥσπερ σηπία" ⟨349⟩, ἀντὶ τϐ̃ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς ἐπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ σηπία τὸν θολόν ⟨cf. v. ἐπετίλησεν⟩. λάρκος οὖν ὁ φορμός, ὁ κόφινος.

λάρναξ σορὸς ἢ κιβωτός· "Πρῖμος καὶ Κερεάλιος ἐς τὴν Ῥωμαίων ἐσέβαλον, πρῶτον μὲν ἐς λάρνακας μετὰ τῶν νεκρῶν, δι' ἀγγέλων τινῶν, καὶ ἐς ἀῤῥίχϐς ὀπώρας ἐγχέσας ἢ καλάμους ὀρνιθευτῶν τὰ γράμματα ἐμβαλόντες" ⟨Dio Cass. 65 18⟩.

λαρόν χλιαρόν, προσηνές, ἡδύ· ⟨AP 7 24⟩ "καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς λαρότερον μαλακῶν ἔπνεεν ἐκ ςομάτων."

λάρος ἐν ἕλεσι παροιμία ἐπὶ τῶν ταχὺ ἀποδιδόντων.

λάρος κεχηνώς ⟨A Eq. 962⟩ ἐπὶ τῶν ἁρπακτικῶν καὶ κλεπτῶν, ἐπεὶ καὶ ὁ λάρος ὄρνεόν ἐςιν ἁρπακτικὸν καὶ ἀδηφάγον.

λαρότερος ἡδύτερος.

λαρυγγίζειν τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨291⟩. ⟨Harp.⟩. καὶ λαρυγγίζουσι βοῶσιν· "οἱ δὲ κόρακες περιπτάμενοι ἄνω καὶ κάτω, θορυβούμενοι καὶ κεκραγότες μετὰ πολλῆς ἀσελγείας, οἷον οἱ κόρακες λαρυγγίζουσι."

λαρυγγιῶ. καταβοήσομαι, φησί, τῶν ἄλλων ῥητόρων. ἢ τὴν φάρυγγα ἐκτεμῶ καὶ κατασιγάσω τοὺς ῥήτορας· τμηθείσης γὰρ τῆς φάρυγγος ὀχ οἷόν τε φωνὴν προΐεσθαι. sch. A Eq. 357.

λάσανα οἱ χυτρόποδες, καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα. sch. A Pac. 893.

λάσθη ⟨Herodot. 6 67⟩. Αἰλιανός "λέγϐσι δὲ ὅτι οὐδὲ προσθέτους οὐδὲ ἐπακτοὺς κόμας ἐκ τῆς ὕβρεως καὶ λάσθης ἐς τὴν χρείαν παρελάμβανεν, ἀλλ' ἃς εἶχε συμφυεῖς ἀσκῶν καὶ ἐκτείνων." καὶ αὖθις "οἱ δὲ Μεσσήνιοι σὺν λάσθῃ καὶ γέλωτι, ὥσπερ ἄθυρμα τῶν Σπαρτιατῶν, τὰ πρῶτα τϐ̃ Διὸς ἀναθήματα διέσπειραν."

λάσια δασέα.

λάσιοι πολύτριχοι, ἢ συνετοί.

λασίοις. περὶ Φιλοκτήτϐ ὁ λόγος ⟨180⟩· "οὗτος πρωτογόνων ἴσως οἴκων οὐδενὸς ὕςερος, πάντων ἄμμορος ἐν βίῳ κεῖται μοῦνος ἀπ' ἄλλων, ςικτῶν ἢ λασίων μετὰ θηρίων."

λασιόκωφος ⟨Plato Phaedr. p. 253 E⟩ ὁ λίαν κωφός, οἷον λάσια τὰ ὦτα ἔχων ὡς συγκεκωφῶσθαι καὶ ἀναισθητεῖν.

Λάσος Χαρβίνου Ἑρμιονεύς, πόλεως τῆς Ἀχαΐας, γεγονὼς κατὰ τὴν νη' ὀλυμπιάδα, ὅτε Δαρεῖος ὁ Ὑςάσπου. τινὲς δὲ τοῦτον συναριθμοῦσι τοῖς ζ' σοφοῖς ἀντὶ Περιάνδρου. πρῶτος δὲ οὗτος περὶ μϐσικῆς λόγον ἔγραψε, καὶ διθύραμβον εἰς ἀγῶνα εἰσήγαγε, καὶ τοὺς ἐριςικοὺς εἰσηγήσατο λόγους. sch. A Vesp. 1401.

λαςαυροκάκκαβον βρῶμά τί ἐςι παρὰ

Χρυσίππῳ εἰρημένον, ἐν τῷ περὶ καλοῦ καὶ ἡδονῆς, ὡς ἂν τῆς κατασκευῆς αὐτοῦ οὔσης περιεργοτέρας. Athen. p. 9 C.

λάϛαυρος πόρνος, δασὺς τὸν ταῦρον, λασιόταυρός τις ὤν, ὁ δασὺς τὸν ταῦρον. "εἴ τις ἐν τοῖς Ἕλλησιν ἢ βαρβάροις λάϛαυρος τὸν τρόπον, οὗτοι πάντες ἑταῖροι τοῦ βασιλέως ἦσαν" ⟨Theopomp. ap. Polyb.⟩.

λαταγεῖα. καὶ θηλυκὸν λάταγας.

λάταξ ἡ μεγάλη ϛαγών· ἐν ἐπιγράμματι ⟨AP 5 296⟩ "τοὺς δὲ μεθυϛὰς καλλείψω λατάγων πλέγμασι τερπομένους."

Λατῖνοι οἱ νῦν Ῥωμαῖοι· Τήλεφος γὰρ υἱὸς Ἡρακλέους, ὁ ἐπικληθεὶς Λατῖνος, μετωνόμασε τοὺς πάλαι Κητίους λεγομένους Λατίνους. Ἰταλοὶ δὲ οὗτοι πάλιν προσηγορεύθησαν ἔκ τινος Ἰταλȣ̃ δυναϛεύσαντος τῆς χώρας. Αἰνείου δὲ καταλαβόντος τὴν δύσιν ἐκλήθησαν Αἰνεάδαι· μεθ' ὃν Ῥωμαῖοι πάντες μετωνομάσθησαν, ἀπὸ Ῥωμύλου λαβόντες τὴν ἐπωνυμίαν.

λατρεία δουλεία ἐπὶ μισθῷ· Σοφοκλῆς ⟨Ai. 503⟩ "οἵας λατρείας ἀνθ' ὅσȣ ζήλȣ τρέφει."

a λάτρις θεράπαινα, δούλη, προσαῖτις· ⟨AP 6 217⟩ "δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδ' ὄρεια (an τάδε Ῥείᾳ) ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους."

b λάτρις τὸ ἁπλοῦν διὰ τοῦ ι· "λάτριν ἄγειν παλίνορσον ἀεικέα τῷ κεραμῆι." εἰδωλολάτρης δὲ διὰ τοῦ η, ἐν συνθέσει.

λάτρον ὁ μισθός· λατρεία γὰρ δουλεία ἐπὶ μισθῷ.

λατύπη λιθουργική. ἢ τὸ λεπτὸν τοῦ λίθου.

λαυκανίη ὁ λαιμός.

λαύρα δημόσιος ϛενωπός, ἄμφοδος, ῥύμη, δι' ἧς οἱ λαοὶ ῥέουσιν. ἢ λαύρα ἡ ϛενὴ ῥύμη, ἔνθα πᾶσα ἀκαθαρσία. ἢ ὁ ῥυπαρὸς τόπος. sch. A Pac. 98.

Λαύρειον τόπος Ἀττικῆς, ποιῶν μέταλλα.

Λαυρέντια ὄνομα πόλεως.

λαφυγμός ἡ ἀδηφαγία, καὶ ἡ πρὸς τὰ ἐδέσματα πολυτέλεια. τȣτέϛιν ἐκδεδιῃτημένη, πολυτελὴς τρυφή, τὸ ἀπλήϛως ἐσθίειν. Εὔπολις ἐν Κόλαξι "λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ," καὶ Ὅμηρος ⟨Λ 176⟩ "καὶ ἔγκατα πάντα λαφύσσει." sch. A Nub. 52.

λαφύξας διασπαράξας, ἀφειδῶς θοινησάμενος. Αἰλιανός "οὗτοι οἱ ἀετοὶ λαφύξȣσι τῶν ἐλεφάντων τὰ σπλάγχνα, δείξας τὰς σημαίας." "οἱ δὲ Πέρσαι φρέασι περιτυχόντες λαφύττουσιν ἀπληϛότερον, καὶ ἐς μέγα κακȣ̃ ἀποκλίνουσι, τῆς κοιλίας αὐτοῖς τῇ ἀθρόᾳ τοῦ ὕδατος ἐμβολῇ διενεγκεῖν οὐκ ἐχούσης τȣ̃ ἐπιφορτισθέντος ὕδατος τὴν ἀντίληψιν" ⟨Theophyl. Sim. 2 5⟩.

λάφυρα τὰ ἐκ τῶν πολεμίων ἔτι ζώντων λαμβανόμενα. τὰ δὲ τεθνεώτων αὐτῶν σκῦλα λέγεται.

λαφύϛιος ὁ λαίμαργος.

λαχανεία.

λαχανηρόν.

λαχανίζεσθαι ἀντὶ τοῦ λάχανα συλλέγειν, ὡς ξυλίζεσθαι καὶ φρυγανίζεσθαι.

λαχάνοις τοῖς λαχανοπωλίοις.

λαχάνωνος.

Λαχάρης Λαχάρους Ἀθηναῖος σοφιϛής, μαθητὴς Ἡρακλέωνος Ἀθηναίου, διδάσκαλος δὲ πλείϛων, ἐνδόξων δὲ Εὐϛεφίȣ καὶ Νικολάȣ καὶ Ἀϛερίȣ, ἀκμάσας ἐπί τε Μαρκιανοῦ καὶ Λέοντος τῶν βασιλέων, ἔγραψε περὶ κώλου καὶ κόμματος καὶ περιόδȣ, διαλέξεις, ἱϛορίαν τὴν κατὰ Κορνȣ̃τον, ἐκλογὰς ῥητορικὰς κατὰ ϛοιχεῖον. cf. v. Σουπηριανός extr.

λάχεια γῆ βραχεῖα. Hom. ι 116.

λαχεῖν δίκην δικάσασθαι.

λάχνη τρίχωσις. λέγεται δὲ καὶ ὁ τῆς θαλάσσης ἀφρός.

λαχνήεντα ⟨Hom. Σ 415⟩ δασέα, τετριχωμένα. καὶ λαχνήεις ὁ δασύς.

λάχος μοῖρα· "ἐν οἷς ἦν καὶ συὸς ἀγρίȣ μέγα λάχος," καὶ αὖθις ἐν μύθοις "τοῦτο μὲν οὖν πρῶτον λάχος οἴσομαι," καὶ αὖθις "σφαίρας δὲ λάχος κονίῃσιν ἐμίχθη." λέγεται δὲ καὶ πρόλαχος ἡ πρώτη μερίς.

λαχών κληρωσάμενος. Ἀριϛοφάνης ⟨Eq. 258⟩ "πρὶν λαχεῖν τὰ κοινὰ κατεσθίεις," τȣτέϛι πρὶν κληρωθῆναι, πρὶν χειροτονηθῆναι, πρὸ διανομῆς ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.

λάψαι τῇ γλώττῃ πιεῖν.

λάψοντες ⟨Hom. Π 161⟩ ἐπιθυμητικῶς ἔχοντες τοῦ πιεῖν· οἱ γὰρ αἵματος ἐμπεφορημένοι καὶ διὰ δίψαν ὁρμῶντες ἐν τῇ κρήνῃ ἔχουσι τὸ παράσημα.

λέαινα ζῷον, θηρίον. cf. v. τρόχνησις.

*λεάντειραν* τὴν λεαίνουσαν· ⟨AP 6 295⟩ "καρκίνα τε σπειροῦχα, λεάντειράν τε κίσηριν."

*Λέαρχος.*

*Λεβάδεια* ὄνομα πόλεως.

*Λεββαῖος* ὄνομα κύριον, ὁ ἀπόϛολος ⟨Matth. 10 3⟩.

*Λέβεδος* πόλις.

*λεβηναῖον* ἱερόν.

*λεβηρίς* τὸ γῆρας ὃ ἀποδύεται ὁ ὄφις. καὶ παροιμία "τυφλότερος λεβηρίδος καὶ κινδάλου·" ἔϛι δὲ εἶδος ὀρνέου ἀσάρκȣ καὶ λεπτοῦ ⟨cf. v. κίγκαλος⟩. ἄλλως δὲ γυμνότερος· φασὶ γὰρ ὅτι Λεβηρὶς πένης ἐγένετο, ἐξ οὗ καὶ ἡ παροιμία μετήχθη.

*λέβης* σκεῦος μαγειρικόν· λέγεται δὲ καὶ κάδος. παρὰ δὲ τῇ θείᾳ γραφῇ ὁ λέβης ἐπὶ τιμωρίᾳ κεῖται, καὶ Ἰεζεκιὴλ ⟨11 3⟩ λέβητα ἐκάλεσε τὴν Ἱερουσαλήμ, κρέα δὲ τοὺς ἐνοικοῦντας, πῦρ δὲ τὸν Βαβυλώνιον, ζωμὸν δὲ τὴν ἀναγκαίαν τροφήν, οὗ ἐπιλελοιπότος κατεκαίετο τὰ κρέα. Theodoret. in Ps. 59 10.

*λεγεντία* κατὰ Ῥωμαίους ἀμνηϛία, βασιλικὴ χάρις.

*λέγειν σὺ δεινός.* cf. v. δεινός.

*λέγεις μοι χαράν, λέγεις μοι βοᾶν"* Ἀριϛοφάνης Πλούτῳ ⟨637⟩, ἀντὶ τοῦ ἀναγγέλλεις μοι χαρᾶς ἄξιον, ὥϛε βοᾶν τῇ χαρᾷ νικώμενον.

*λεγεών* παρὰ Ῥωμαίοις ἑξακισχίλιοι ϛρατιῶται.

*λέγω* τὸ λαλῶ· σημαίνει δὲ καὶ τὸ μετρῶ καὶ τὸ κοιμῶμαι καὶ τὸ συλλέγω καὶ τὸ λαγχάνω. ἀπὸ οὖν τοῦ λέξω μέλλοντος λέξω ἐνεϛώς, ἔνθεν λέξεο ⟨Hom. *Ι* 617⟩ ὡς ὄρσω ὄρσεο.

*λεηλασία* αἰχμαλωσία.

*λεηλατῆσαι* ἐκπορθῆσαι, καὶ *λεηλατεῖ* ληϛεύει, ἁρπάζει.

*λεῖα* παρὰ Θουκυδίδῃ ⟨2 97⟩ τὰ λιτά, πρὸς ἀντιδιαϛολὴν τῶν ὑφαντῶν καὶ πεποικιλμένων.

*λεία* ὁμαλὴ ὁδός. καὶ ἡ λαφυραγωγία. σημαίνει δὲ καὶ ὄνομα κύριον.

*λειανέω* ⟨Hom. *Ο* 261⟩ λεῖον ποιήσω.

*λείας* πραίδας ἀπὸ πολεμίων. καὶ λείας τὰ ποίμνια, τὰ βοσκήματα, παρὰ Σοφοκλεῖ ⟨Ai. 26⟩ "ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν λείας ἁπάσας." ἔνθεν καὶ ληϛὴς κατὰ τὸ κύριον, καὶ Ὅμηρος ⟨*Λ* 676⟩ "ληίδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλήν." καὶ αὖθις "πολλὰ μὲν λάφυρα πολλὴν δὲ λείαν περιεβάλλοντο." καὶ *ληίζω* τὸ πραιδεύω· καὶ ἀλλαχοῦ Ὅμηρος ⟨*Ι* 406⟩ "ληιϛοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα." καὶ αὖθις "Σκυθῶν ἐπιδραμόντων τὴν Ῥωμαίων χώραν καὶ πολλὴν λείαν παρασυράντων, ὁ βασιλεὺς Οὐαλεντιανὸς ὀργισθεὶς καὶ βοήσας μειζόνως ἐρράγη τὰ τῆς φωνῆς αἴτια καὶ ἐτελεύτησε."

*λείβει* βάλλει, ϛάζει. "ὁ δὲ φθειρσὶν ἐκζέσας ἐσθιόμενός τε καὶ κατὰ μικρὰ λειβόμενος ἀποθνήσκει."

*λείβεται* τοῖς δακρύοις διάβροχος γίνεται· Ἀριϛοφάνης ⟨Eq. 327⟩ "ὁ δ' Ἱπποδάμȣ λείβεται θεώμενος." οὗτος ὁ Ἱππόδαμος ἐν Πειραιεῖ κατῴκει, καὶ τὴν οἰκίαν δημοσίαν ἀνῆκε. πικρῶς οὖν λέγει πρὸς Κλέωνα ὅτι σὺ μὲν σφετερίζῃ καὶ κερδαίνεις, ὁ δὲ εὐνόϛατος τῇ πόλει καταλείβεται τοῖς δακρύοις, ὁρῶν σε καρπȣ́μενον τὰ τῆς πόλεως ἀναξίως.

*Λείβηθρα* ὄνομα πόλεως. *λείβηθρον* δὲ ὀχετὸς ὑδραγωγικός.

*λείηναν* ⟨Hom. *Θ* 260⟩ ὡμάλισαν.

*λεῖκνον* κόσμος βακχικός· "ἠδὲ φορη- a
θὲν πολλάκι μιτροδέτου λεῖκνον ὕπερθε κόμης" ἐν ἐπιγράμματι ⟨AP 6 165⟩.

*λεῖκνον* τὸ πτύον. cf. v. λίκνον. b

*λεῖμαξ* λείμακος ὁ σύμφυτος τόπος, ὁ κῆπος. καὶ *λειμακέϛεροι* οἱ σύμφυτοι καὶ σύνδενδροι τόποι.

*λεῖμμα* τὸ κατάλειμμα.

*λειμών* λειμῶνος ἀνθηρὸς τόπος.

*λειμωνήρης* βοτάνη ἡ ἐν τῷ λειμῶνι.

*λειμωνία* βοτάνη, καὶ *λειμωνῖτις.*

*λεῖξαι.* οὕτως ἐκαλοῦντο ϛρατιῶται. τοῦτο δ' ἦν τὸ γένος τῶν ἐργαϛικῶν καὶ παραϛρατευομένων ἀνθρώπων, ὃ πάσης τάξεως ἐκτὸς ὑπάρχον οὔτε χιλιάρχȣ λόγον οὔτε ϛρατηγȣ̃ ἐποιεῖτο διὰ τὸ μὴ γινώσκεσθαι τῷ κερδαίνειν ἐκ παντὸς τρόπου, δικαίως καὶ ἀδίκως. διόπερ ἀπερίσπαϛον ὂν πᾶν γένος ἐπινοεῖ κακίας, καὶ πᾶσαν εἰσφέρεται μηχανὴν πρὸς τοῦτο τὸ μέρος. ἱκανὸν δ' ὑπάρχον οὔτε πρὸς τὰς πολεμικὰς ἐπιβολὰς οὔτε πρὸς τὰς καθ' αὑτῶν διὰ τὸ μήθ' ὅπλα μήτε πίϛιν ἔχειν, ἀναγκάζεται κοινοῦσθαι τοῖς ϛρατιώταις καὶ συναποδεικνύειν τούτοις τὰς ἐπινοίας, χάριν τοῦ προσλαμβάνειν τὴν ἐκ τούτων ἐπικουρίαν καὶ χρῆσθαι συνεργοῖς τούτοις κερδῶν καὶ φόνων. καὶ ἐγένοντο πάντες λίχνοι, καὶ πᾶν

ἐπληρώθη τὸ στράτευμα ῥᾳδιουργίας καὶ πονηρίας. ὅθεν καὶ λειξοῦρα.

λειόβατος ὁ ὁμαλὸς τόπος.

λειομίτου· ἐν ἐπιγράμματι ⟨AP 6 247⟩ "Παλλάδος ἰσοπόνου λειομίτου κάμακος."

λεῖον πρᾶον· Ἀριστοφάνης ⟨Ran. 998⟩ "μὴ πρὸς ὀργὴν ἀντιλέξῃς, ἀλλὰ συστείλας, ἄκροισι χρώμενος τοῖς ἱστίοις, εἶτα μᾶλλον μᾶλλον ἄξεις, καὶ φυλάξεις ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον καὶ καθεστηκὸς λάβῃς."

λειόφυτον ὁμαλόδερμον.

λειπανδρεῖν· ⟨Diog. L. 2 26⟩ "βουληθέντας Ἀθηναίους διὰ τὸ λειπανδρεῖν αὐξῆσαι τὸ πλῆθος, ψηφίσασθαι γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας. ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην."

λείπεσθαι ἡττῆσθαι· Πολύβιος "πάντων τῶν κατὰ τὸν πόλεμον ἐνεργημάτων μεγίστην ῥοπὴν ἔχουσι καὶ πρὸς τὸ λείπεσθαι καὶ πρὸς τὸ νικᾶν αἱ ψυχαὶ τῶν ἀγωνιζομένων."

λειποθυμία.

λειπόκρεως ὁ ἰσχνότατος.

λείπομαι γενικῇ καὶ δοτικῇ.

λειπομαρτυρίου δίκη. τοῖς ἐπισταμένοις τι τῶν πεπραγμένων καὶ μαρτυρήσειν ὑπεσχημένοις ἐν δικαστηρίῳ, εἶτα δὲ ὕστερον ἀποφυγοῦσιν ἐλάγχανον δίκην· κἂν μὲν ἥλωσαν, ἐτιμῶντο κατ' ἀξίαν, εἰ δὲ μὴ ἕλοι ὁ διώκων, πρόστιμον ἐτίθετο δραχμή.

λειπόμεθα ἡττήμεθα· ⟨Polyb. 3 85⟩ "ἅμα τῷ τὸν στρατηγὸν εἰπεῖν τοῖς ὄχλοις ὅτι λειπόμεθα μάχῃ μεγάλῃ, τηλικαύτην συνέβη γενέσθαι διατροπήν." καὶ σύνταξις· "ἑάλωσαν δὲ αἰχμάλωτοι δισχίλιοι λείποντες διακοσίων."

λειποναῦται· "ἐδογματοποιήσαντο δὲ τοὺς κατὰ τὴν Ἑλλάδα λειποναύτας γεγονότας ἀναζητῆσαι, καὶ τὰς χεῖρας ἀποκόψαι πάντων."

λειπόνεως λειπόνεω κλίνεται.

λειποτάκτης ὁ φυγάς, καὶ λειποτακτῶ τὴν τάξιν καταλιμπάνω.

λειποταξίου· Ἀγαθίας ⟨2 7⟩ "ὃ δὲ αἰσχρόν τι ἡγεῖτο καὶ ἀγεννές, εἰ πολέμου ξυνεστηκότος αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν λειποταξίῳ ἁλοῖεν." ὅτι Ἡράκλειος ὁ Ῥωμαίων στρατηγὸς λειποταξίου ποινὰς τοὺς πλανήτας τῆς Ῥωμαϊκῆς δυνάμεως εἰσεπράττετο ⟨cf. v. πλανήτης⟩.

λειποσιτῶ.

λειποστράτιον τὸ μὴ ἐθέλειν στρατεύεσθαι, καὶ λειποστράτιος ὁ τὴν στρατιὰν καταλιμπάνων.

λειποψυχῶ.

λειπώδινος. γίνεται ἐκ τοῦ ὠδίν.

λείρια τὰ ἄνθη, ἢ κρίνα· ⟨AP 7 219⟩ "ἡ μούνη χαρίτων λείρια δρεψαμένη."

λειριόεντα ⟨Hom. Ν 830⟩ ἁπαλά· λείριον γὰρ τὸ ἄνθος, παρὰ τὴν λειότητα. προσηνῆ, τερπνά, ἡδέα.

λειριόεσσα ⟨Hom. Γ 152⟩ ἐπιθυμητική.

λείριον κοινῶς τὸ ἄνθος καὶ ἰδίως τὸν νάρκισσον καλοῦσιν οἱ Ἀττικοί.

λειρόφθαλμος ὁ προσηνεῖς ἔχων τοὺς ὀφθαλμούς. cf. v. λιρός.

λειτουργία κυρίως ἡ δημοσία ὑπηρεσία, παρὰ τὸ λήιτον καὶ τὸ ἔργον· Πισίδης ⟨Hexaem. 1481⟩ "ὅπως ὑφέξει τῶν χρεῶν καὶ τῶν τόκων ἅπασαν ἁπλῶς ψυχικὴν λειτουργίαν." καὶ λειτουργῶ δοτικῇ.

λειτουργίας ὑπηρεσίας.

λειτουργική κυρίως μὲν ἡ ἱερατική, καταχρηστικῶς δὲ ἡ δουλική.

λειχὴν λειχῆνος εἶδος ψώρας.

λείψανον τὸ κατάλειμμα.

λειψυδρία ἡ λεῖψις τοῦ ὕδατος.

λειώδης ὁ ὁμαλός. καὶ ὄνομα κύριον ⟨Hom. φ 144, 168⟩.

λειώσας διακόψας.

λεκάνια λεκανίδια.

λεκάνια καὶ λεκανίδες τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα· ⟨A Ach. 1109⟩ "καί μοι λεκάνιον τῶν λαγῴων δὸς κρεῶν." καὶ Ἀριστοφάνης ⟨Nub. 907⟩ "ἰδού, χωρεῖ τὸ κακόν, δότε μοι λεκάνην," ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρολογίας ἐμέσω· χολὴ γάρ μοι ἐπιπλέει διὰ τὰ ῥήματα αὐτοῦ.

λεκιθοπώλης. ἀρσενικὸν διὰ τοῦ η, θηλυκὸν δὲ διὰ τοῦ ι, γυνὴ πωλοῦσα ᾠά.

λέκιθος εἶδος ὀσπρίου, ὃ καλεῖται πισός, διὰ τὸ ἐοικέναι τὴν χρόαν λεκίθῳ ᾠοῦ. ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ. καὶ ἐν τῇ Λυσιστράτῃ ⟨561⟩ "νὴ Δί' ἔγωγ' οὖν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον ἐφ' ἵππου εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός." sch. A Plut. 427.

λεκτός ἐπίλεκτος· "οἵδε τ' ἠθέων λεκτοί" Σοφοκλῆς ⟨OR 19⟩.

λέκτροις κοίταις, καὶ λέκτρον ἡ κοίτη.

**λέλακας** ἀντὶ τοῦ κέκραγας· λακεῖν γὰρ τὸ φωνεῖν. ἔϛι δὲ καὶ παρὰ τῷ ποιητῇ· (Υ 277) "λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς" καὶ (Ν 616) "λάκε δ' ὀςέα" καὶ (μ 85) "δεινὸν λελακυῖα." sch. A Ach. 409.

**λελάχωσι** θάψωσι.

**Λέλεγες** ἔθνος (Hom. K 429).

**λελειουργημένα** κεκαλλωπισμένα.

**λελῆσθαι** ἐπιλελῆσθαι.

**λελιημένος** προθυμούμενος. Hom. Δ 465.

**λέλογχεν** ἔτυχεν, ἀπήλαυσε. καὶ **λελογχώς** λαχών.

**λέμβον** μικρὸν πλοῖον· "ἑτέρους δὲ ἐν χειμῶνι σφοδρῷ λέμβοις ἐξέπεμψαν," καὶ αὖθις (Polyb. 4 29) "πλεῖν δὲ λέμβοις λ', καὶ πολεμεῖν τοῖς Αἰτωλοῖς κατὰ θάλατταν." ἡ δοτικὴ τῷ λέμβει.

**λέμμα** λέπισμα.

**Λέμωνος.**

**λέντιον** (Io. 13 4 et 5) τὸ παρ' ἡμῖν.

**λεξείδιον.**

**Λεόννατος** ϛρατηγὸς Μακεδονίας, κατὰ γένος προσήκων τῇ Φιλίππȣ μητρί, συντραφεὶς δὲ Ἀλεξάνδρῳ, κατὰ τὸ τῆς τροφῆς ἐπιτήδειον καὶ τοῦ γένους καὶ κατὰ μέγεθος μέντοι καὶ κάλλος τοῦ σώματος τιμῆς μετεῖχεν. ὅθεν αὐτῷ καὶ ζῶντος Ἀλεξάνδρου τό τε φρόνημα ὑπέρογκον ἦν, καί τις ἁβρότης Περσικὴ κατά τε τὴν τῶν ὅπλων λαμπρότητα καὶ τὴν ἄλλην δίαιταν εἰς τὴν τῶν πολεμίων οὐκ ἀφανῶς ἐπετηδεύετο. τελευτήσαντος δὲ Ἀλεξάνδρου καὶ ζῆλον ἐποιεῖτο, εἰκάζων αὑτὸν πρὸς τὰ βασιλικὰ τῷ τε ἀφέτῳ καὶ ἀνειμένῳ τῆς κόμης καὶ τῇ ἄλλῃ κατασκευῇ, ἣ οὐ πρόσω τȣ̃ Περσικȣ̃ τρόπȣ ἤσκητο αὐτῷ. ἵπποι τε Νισαῖοι, οἳ δὲ Φάσιδος ἄπο, χρυσοχάλινοι σύμπαντες, προετετάχατο τῆς τάξεως, ἐκπρέποντες τοῖς καλλωπίσμασιν. ἐπήγνυντο δὲ αὐτῷ καὶ σκηναὶ μεγαλοπρεπεῖς καὶ ὅπλα κάλλει ὑπερφέροντα. εἵπετο καὶ τὸ τῶν ἑταίρων ἄγημα.

**λέοντα ξυρᾷς,** παροιμία λεγομένη ἐπὶ τῶν τὰ ἀδύνατα ἐπιχειρούντων.

**λεοντῆ** ἡ δορὰ τοῦ λέοντος.

**λεοντιδεύς.** καὶ **λεόντειον** βρύχημα.

a **Λεόντιος** Ἀντιοχείας ἐπίσκοπος ἑαυτὸν ἐξέτεμε, καὶ ἦν καὶ τἆλλα βέβηλος. καὶ Ἀέτιος ὁ Εὐνομίου διδάσκαλος, ὃς τὴν Ἀρείου βλασφημίαν ταῖς ἐπινοίαις ἐπηύξησε.

**Λεόντιος.** καὶ οὗτος ἐν Ἀντιοχείᾳ ἐγένετο αἱρετικός. ἔγραψε καὶ κατ' αὐτοῦ Φώτιος ὁ πατριάρχης· οὗτος γὰρ περὶ τȣ̃ ὁμοουσίου διελέχθη πρὸς Φλαβιανὸν τολμηρὰ καὶ βλάσφημα ληρῳδήματα. b

**Λεόντιος μοναχός.** οὗτος ἐπὶ Ζήνωνος ἦν, προφητικῇ δὲ χάριτι τὰς ἐπικρύψεις τῶν γραφῶν ἐμφανεῖς ποιῶν πολλοὺς εἶχε τῶν σπουδαίων παρ' αὐτὸν φοιτῶντας. ἀλυόντων δὲ τινῶν ἐπὶ τοῖς κατὰ τῆς ἐκκλησίας παρὰ τοῦ βασιλέως τερατευομένοις, "οὐ δεῖ ξενίζεσθαι" ἔλεγεν "ἐπὶ τοῖς δρωμένοις παρὰ ἀνθρώπου ἐξ ἀνθρώπων τε τὸ ἄρχειν ᾑρημένου, ὁπότε καὶ Σαοὺλ ὁ ψήφῳ θεοῦ βασιλεύσας Ἀβιμέλεχ καὶ τοὺς υἱεῖς ὄντας ἐν τῷ οἴκῳ κυρίου διεχρήσατο μαχαίρᾳ." διαπορούντων δὲ τῶν ἄλλων, καὶ οἰομένων μεταβεβλῆσθαι τὴν φύσιν αὐτοῦ ἐξ ἡμέρȣ εἰς ἀγρίαν διὰ τὸ τὰ πρῶτα τῆς βασιλείας πρᾶξαί τέ τινα καὶ ὑποσχέσθαι ἕτερα τῶν εἰς χρηϛὰ τεινόντων, "οὐ μεταβέβληται" ἔφη "τὴν φύσιν, ἀλλ' ἐνδέδεικται ἐν εὐδαιμονίᾳ τὴν κακίαν, πολὺν χρόνον διὰ τὸν φόβον τȣ̃ Ἴλλου ἡσυχασθεῖσαν." ἀναγινωσκομένης δὲ βίβλου Κλήμεντος τȣ̃ ϛρωματέως, καὶ φθάσαντος χωρίον ἐν ᾧ τȣ̀ς ἄνδρας ἀποσκώπτει τοὺς ἑταιρικῶς τὰς ὄψεις ὑπογράφοντας καὶ βάπτοντας τὰς τρίχας, εἰπόντος τοῦ Λεοντίου "ἆρά γε ἔϛι τις τοῦ βασιλέως ἅτερ ὁ τὰς τρίχας βάπτων καὶ φυκούμενος τὰς ὄψεις;" ὑποτυχὼν ἄλλος ἔφη μοναχός "ἡμεῖς περὶ ἀνθρώπου διηπορήσαμεν, εἴ γε ὅλως ἀνέχεται κοσμήσει τὴν φύσιν ἐναλλάττειν· οὐ μήν γε τοῦτο διελάβομεν ποιεῖν τὸν βασιλέα." ἀλλ' εὐτρόχως μὲν λίαν οἱ μοναχοὶ ἀπέσκωψαν τοὺς τὴν τῶν ἀνδρῶν φύσιν εἰς τὴν τῶν θηλειῶν πειρωμένους μετεγγράφειν. ὅτι γὰρ τȣ̀ς τοιȣ́τȣς καὶ τῶν παλαιῶν πλεῖϛοι ἀπεϛράφησαν ὡς οὐ βεβαίους, πολλοὺς μὲν ἔϛιν εὑρεῖν ἐν ἱϛορίαις, ἐκδηλότερον δὲ Φίλιππον τὸν τοκέα Ἀλεξάνδρου. ἐπεὶ γὰρ Ἀντίπατρόν τινα τῶν φίλων τάξας εἰς τοὺς δικαϛὰς τὸν πώγωνα καταβαπτόμενον εἶδε καὶ τὴν κόμην, ἐξανέϛησεν εἰπὼν τὸν ἄπιϛον ἐν θριξὶ μὴ νομίζειν ἐν πράγμασιν ἀξιόπιϛον ὑπάρχειν. c

**Λεόντιος** Τριπόλεως τῆς Λυδίας ἐπίσκοπος, Μυσὸς τὸ γένος τῶν πρὸς τῷ Ἴϛρῳ κατῳκημένων, οὓς ἀγχεμάχους Ὅμηρος καλεῖ. τὸν τοιοῦτον Λεόντιον προσεταιρίζεται d

ὁ κακόφρων Φιλοσόργιος ἐν τῇ βίβλῳ αὐτοῦ ὡς ὁμόφρονα τῆς Ἀρειανικῆς αὐτοῦ κακοφροσύνης. ὃς παῖδα ἕνα ἐσχηκὼς ἐπειδὴ μὴ χρηστὰς ἐλπίδας αὐτὸν ὑποφαίνοντα πρὸς ἀρετὴν εἶδεν, εὐξάμενος, ὥς φασιν, ἔτι μειράκιον ὄντα ἐποίησεν ἀποθανεῖν, κάλλιστον ἡγησάμενος τὸ πρὸ αἰσχροῦ τινὸς καταλύσασθαι τὸν βίον, τῶν σφαλερῶν κατὰ τὸν βίον ὀλίσθων ἔξω γενόμενον. κανόνα δὲ αὐτὸν ἐκάλουν τῆς ἐκκλησίας. ἦν δὲ ἐλεύθερος τὴν γνώμην ἐπ' ἴσης εἰς πάντας καὶ παρρησιαστικός. καί ποτε συνόδου γενομένης, Εὐσεβίας τῆς Κωνσταντίου γυναικὸς εἰς οἴδημα ἀρθείσης φρονήματος καὶ παρὰ τῶν ἐπισκόπων προσκυνουμένης, μόνος οὗτος παρὰ φαῦλον αὐτὴν τιθέμενος οἴκοι ἔμενεν. ἡ δὲ διὰ τοῦτο ὑποθερμανθεῖσα τοῖς θυμοῖς καὶ τὴν γνώμην φλεγμήνασα πέμπει πρὸς αὐτόν, αἰτιωμένη καὶ ὑποσχέσεσι κολακεύουσα, ὡς ἐκκλησίαν σοι μεγίστην ἐγερῶ καὶ χρήματα ἐπιδαψιλεύσομαι, εἰ ἀφίκοιο πρός με. ὁ δὲ ἀντεδήλωσε "τούτων μὲν εἴ τι βουληθείης τελέσασθαι, ὦ βασίλεια, οὐκ ἐμοὶ μᾶλλον ἢ τῇ σαυτῆς ψυχῇ ἴσθι χαριουμένη· εἰ δὲ θελήσειας ἀφικέσθαι πρὸς σὲ ὡς τῆς ἐπισκόποις πρεπούσης αἰδοῦς φυλαχθησομένης, ἵν' εἰσέλθοιμι μὲν ἐγώ, σὺ δ' αὐτίκα τοῦ θρόνου τοῦ ὑψηλοῦ καταβᾶσα μετ' αἰδοῦς ὑπαντήσειας ἐμοὶ καὶ τὴν κεφαλὴν ὑπόσχοις ταῖς ἐμαῖς χερσὶν εὐλογιῶν ἀξιουμένη, κἄπειτα καθεσθείην μὲν ἐγώ, σὺ δ' ἂν ἑστήκοις αἰδουμένη, ὁπόταν δὲ κελεύσαιμι, καθεδουμένη ἡνίκα δοίην τὸ σύνθημα, — εἰ οὕτως αἱρήσῃ, ἀφικοίμην παρὰ σέ. εἰ δ' ἕτερον τρόπον, οὐχ οὕτω πολλὰ δώσεις, οὐδ' οὕτω μεγάλα δυνήσῃ, ὡς ἡμᾶς τῆς προσηκούσης τιμῆς τοῖς ἐπισκόποις καθυφιεμένους εἰς τὸν θεῖον ἐξυβρίσαι τῆς ἱερωσύνης θεσμόν." ταῦτα ὡς ἀπηγγέλθη, ἀναπίμπραται τὴν ψυχήν, οὐκ ἀνασχετὸν ποιουμένη πρὸς Λεοντίου τοιούτους δέξασθαι λόγους. καὶ πολλὰ διοιδήσασα καὶ παθηναμένη, καὶ πολλὰ ἐκ γυναικείας ἀκροχόλου καὶ κούφης ἀπειλήσασα διανοίας καὶ τἀνδρὶ διηγησαμένη, πρὸς τιμωρίαν ἐξώρμα. ὁ δὲ μᾶλλον ἐπῄνεσε τὴν ἐλευθερίαν τῆς γνώμης, καὶ τὴν γυναῖκα παρήνεγκε τῆς ὀργῆς καὶ ἀποπέμπει εἰς τὴν γυναικωνῖτιν. καί ποτε μεταξὺ προκαθημένου τοῦ βασιλέως Κωνσταντίου τῶν ἐπισκόπων, καὶ ἄρχειν καὶ τῶν ἐκκλησιῶν ἐθέλοντος, οἱ μὲν πολλοὶ πᾶν ὅ τι φήσειεν ἐκρότουν καὶ ἐθαύμαζον, ἄριστα εἰρῆσθαι διοριζόμενοι, ὁ δὲ ἐσιώπα. ὡς δὲ ἤρετο αὐτὸν ὁ βασιλεὺς τί σιωπᾷ μόνος τῶν πάντων, "θαυμάζω" ἔφη "ὅπως ἕτερα διέπειν ταχθεὶς ἑτέροις ἐπιχειρεῖς, στρατιωτικῶν μὲν καὶ πολιτικῶν πραγμάτων προεστηκώς, ἐπισκόποις δὲ περὶ τῶν εἰς μόνους ἐπισκόπους ἡκόντων διαταττόμενος." τὸν δὲ βασιλέα καταιδεσθέντα παύσασθαι τῆς ἐν τοῖς τοιούτοις ἤδη διακελεύσεως. τοιοῦτος ἦν ὁ Λεόντιος ἐλευθέριος. Philostorgius?

λέπαδνα οἱ μασχαλιστῆρες τῶν ἵππων, ἢ στηθιαῖοι λῶροι. sch. A Eq. 765.

λέπας ἀκρωτήριον. λεπάς δὲ κογχυλίου εἶδος, ὃ ταῖς πέτραις προσπήγνυται, δυσαποσπάστως ἔχον ἐπειδάν τις αὐτοῦ βουληθείη λαβεῖν. εὐεπίφορος δ' ἐστὶ τῷ λεπάς ὁ Ἀριστοφάνης. παρ' ὑπόνοιαν· ὥσπερ λεπὰς πέτρᾳ, οὕτως ἡ γραῦς τῷ μειρακίῳ. λεπὰς δὲ εἶδος ἰχθύος ⟨sch. A Plut. 1097⟩. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 23⟩ "ὅς τόδε ναίεις εὔστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας," τουτέστιν ἀκρωτήριον.

λεπαστή εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ· ἢ ὁ πίθος. Ἀριστοφάνης ⟨Pac. 916⟩ "φήσεις, ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν."

λεπιδωτοὶ ἰχθύες πᾶν τὸ τῶν ἰχθύων γένος, ἔξω τῶν σελαχίων.

λέπρα εἶδος νόσου· Μάλχος "λέπρα δὲ ἐπήνθει τῷ προσώπῳ αὐτοῦ."

Λέπρεον τῆς Τριφυλίας πόλις, ἀπὸ τοῦ παρακειμένου τραχέος ὄρους· οἱ δ' ἀπὸ τοῦ τοὺς κτίζοντας αὐτὴν νόσῳ χρήσασθαι λέπρᾳ. οὐδετέρως τὸ Λέπρεον· Ἀριστοφάνης δὲ ⟨Av. 149⟩ ἀρσενικῶς ἐξήνεγκε, τὸν Ἠλεῖον Λέπρεον, ἀντὶ τοῦ τὸν τῆς Ἤλιδος. οὕτω δὲ ἐκλήθη διὰ τὸ τὴν χώραν αὐτῶν λέπειν· διαφαίνεται γὰρ ἐκ τῆς ὀρεινῆς. πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας τῷ χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπριῶσι.

Λέπρεος· Ἀριστοφάνης "βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου." οὗτος εἶχε λέπραν, ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν, ἦν δὲ καὶ κακοπράγμων καὶ ὀψοφάγος καὶ λάλος.

Λεπρίνης ὄνομα κύριον.

λεπτὰ ξαίνεις, ἐπὶ τῶν πενιχρῶς διαγόντων τὸν βίον.

λεπτὰ πλοῖα τὰ μικρά Θουκυδίδης ἐν η' ⟨immo 7 40⟩.

λεπτή τις ἐλπίς ἐςʼ ἐφʼ ἧς ὀχάμεθα (A Eq. 1249). ἐπὶ τῶν ἀμηχάνων εἴρηται ἡ παροιμία.

λεπτὴν πλέκει, λεγόμενόν τι ἐπὶ τῶν πενήτων. οἷον ἀκριβῆ, ςενήν, ἀσθενῆ· ἔνθεν καὶ λεπτολόγος. Ἀριστοφάνης Νεφέλαις (739) "καὶ σχάσας τὴν φροντίδα λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα," τουτέςιν ἐρεύνα.

λεπτόγεα κακὸς ἀγρός. λεπτὴ γῆ μὴ λιπαρά. καὶ λεπτόγεως.

λεπτολογία. "οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ διῆγε τοὺς λόγους" περὶ Ἀπολλωνίου γράφει Φιλόςρατος ὁ Λήμνιος (1 13). Ἕρμιππος Δημόταις. "λεπτολογεῖν ἤδη ζητῶ καὶ περὶ καπνοῦ ςενολεσχεῖν" (A Nub. 319), ἀντὶ τοῦ περὶ τοῦ μηδενὸς καὶ κενῶν πραγμάτων. διασυρμῷ δὲ χάριν τῶν φιλοσόφων ὡς ἰσχνὰ ζητούντων ζητήματα. "σύ τε λεπτοτάτων λήρων" (358), τουτέςι συνετωτάτων καὶ δυσπαρακολουθήτων λόγων.

λεπτόμιτον φάρος τὸ λεπτὸν ἱμάτιον.

λεπτυσμός. λεπτυσμός ἐςιν ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρῆται καὶ ἀντὶ ιςʹ ἀνδρῶν ἐλάττους γίνωνται.

λεπυρόν ὀξυτόνως. σημαίνει δὲ ἢ τὸ τοῦ ᾠοῦ ἢ τὸ τῆς ῥοιᾶς ἐπικάλυμμα.

Λέρνη θεατῶν ἀντὶ τοῦ κακῶν θέατρον· Κρατῖνος. οἳ μὲν διὰ τὴν ὕδραν, οἳ δὲ διὰ τὸ τοὺς Ἀργείους τὰ καθάρματα ἐκεῖ ἀποφέρειν· ὁ γὰρ Δαναὸς ἐν τῇ Λέρνῃ τὰς κεφαλὰς τῶν Αἰγυπτιαδῶν ἀπέθετο, καὶ ὡς εἰκὸς ἐφʼ ὕβρει ἐκέλευσε τὰ δυσοιώνιςα ἐκεῖ ῥίπτειν. οἳ δὲ Λέρνη κακῶν.

λερόν τὸ λεῖον.

Λέσβιος ὁ ἀπὸ τῆς Λέσβου νήσου.

λεσβίσαι μολῦναι τὸ ςόμα· Λέσβιοι γὰρ διεβάλλοντο ἐπὶ αἰσχρότητι. Ἀριςοφάνης (Vesp. 1337) "μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας."

Λεσβίων ἄξια, παροιμία ἐπὶ τῶν ἀπράκτων.

Λεσβῶναξ Μυτιληναῖος φιλόσοφος, γεγονὼς ἐπὶ Αὐγούςου, πατὴρ Ποτάμωνος τοῦ φιλοσόφου, ἔγραψε πλεῖςα φιλόσοφα.

λέσχαι. λέσχας ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί· Ὅμηρος (σ 327) "οὐκ ἐθέλεις εὕδειν χαλκήιον ἐς δόμον ἐλθὼν ἠέ που ἐς λέσχην;" Κλεάνθης δέ φησιν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι, καὶ αὐτὸν δὲ τὸν Ἀπόλλωνα παρʼ ἐνίοις λεσχηνόριον ἐπικαλεῖσθαι (Harp.). λέσχαι καὶ ποιήματα Ἡρακλείδου τοῦ Ποντικοῦ, μέτρῳ Φαλαικείῳ ἤτοι Σαπφικῷ γραφέντα.

λέσχη πολλὴ ὁμιλία, φλυαρία. τὸ δὲ πα- a
λαιὸν αἱ καθέδραι καὶ οἱ τόποι ἐν οἷς εἰώθεσαν ἀθροιζόμενοι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. οὕτω φησὶ καὶ Ἱεροκλῆς ἐν ά φιλοσοφουμένων. Ἡρόδοτος (9 71) "καίτοι γενομένης λέσχης ὃς γένοιτο αὐτῶν ἄριςος." (Callimach. ap. Diog. L. 9 17) "ἐμνήσθην ὁσσάκις ἀμφότεροι ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που, ξεῖνʼ Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή· αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες."

λέσχη δὲ παρὰ Ἡσιόδῳ (O. 491) ἡ κά- b
μινος.

λεσχηνεία ὕβρις, καὶ λεσχηνίτης ὁ ὑβριςής.

Λεσχίδης ἐπῶν ποιητής, ὃς συνεςράτευσεν Εὐμενεῖ τῷ βασιλεῖ· ὃς ἦν ἐπιφανέςατος τῶν ποιητῶν. συνῆν δὲ τούτῳ καὶ Πυθίας ὁ συγγραφεὺς καὶ Μένανδρος ἰατρός.

λευγαλέας ὀλεθρίους, χαλεπάς· (AP 6 270) "ὥς σε μετʼ εὐχωλαῖς ἐκαλέσσατο, λευγαλέας τοι κῆρας ἀπʼ ὠδίνων τῆλε βαλεῖν λοχίων." καὶ λευγαλέος ὁ χαλεπός.

Λευί ὄνομα κύριον, οὗ ἡ φυλὴ ἱερατείας τάξιν ἐπλήρου. καὶ Λευίτης ὁ ἱερεύς.

λευιαθάν (Iob. 40 20) δράκων. "νῦς δὲ μέγας Ἀσσύριος, αἱ ἐναντίαι δυνάμεις. τῇ καρδίᾳ τῆς γῆς ἐμφωλεύοντα· ὃν ἕλκει τῷ τῆς θεότητος ἀγκίςρῳ, τῷ κεκρυμμένῳ σώματι, οἷά τινι σκώληκι." cf. v. ψελίῳ.

λευκαὶ φρένες μαινόμεναι, ἢ λαμπραὶ καὶ ἀγαθαί, ἢ ἥμεροι.

λευκανία ὁ λαιμός.

Λευκαρίων ὄνομα κύριον

Λευκάς νῆσός ἐςι πρὸ τῆς Ἠπείρου κειμένη. Harp.

λεύκη. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησι- a
φῶντος "τοὺς ἐςεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ." ἐςέφοντο δὲ οἱ τὰ βακχικὰ τελούμενοι τῇ λεύκῃ διὰ τὸ χθόνιον μὲν εἶναι τὸ φυτόν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ πρὸς τῷ Ἀχέροντι, ὅθεν καὶ ἀχερωίδα καλεῖσθαι αὐτὴν παρʼ Ὁμήρῳ (N 389). Harp.

λεύκη παρὰ Ἡροδότῳ (1 138) πάθος τι b
περὶ ὅλον τὸ σῶμα.

Λευκὴ ἀκτή. πλειόνων οὐσῶν Λευκῶν, Λυσίας τῆς ἐν Προποντίδι μνημονεύει. Harp.

λευκὴ ἡμέρα ἡ ἀγαθή, καὶ ἐπ' εὐφροσύνῃ. Εὔπολις Κόλαξιν "ἐξίϛαται δὲ νυκτὸς αἰανῆς κύκλος τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν."

λευκὴ ἡμέρα ἡ ἀγαθή, ἀπὸ τῆς παροιμίας τῆς λεγέσης "τῶν εἰς φαρέτραν." Φύλαρχος γάρ φησι τοὺς Σκύθας μέλλοντας καθεύδειν ἄγειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην διαγαγόντες, καθιέναι εἰς τὴν φαρέτραν ψῆφον λευκήν, εἰ δὲ ὀχληρῶς, μέλαιναν. ἐπὶ τοίνυν τῶν ἀποθνησκόντων ἐκφέρειν τὰς φαρέτρας καὶ ἀριθμεῖν τὰς ψήφους, καὶ εἰ εὑρεθείησαν πλείες αἱ λευκαί, εὐδαιμονίζειν τὸν ἀπογενόμενον. ὅθεν ἡ παροιμία.

λευκὴν μᾶζαν φυρῶ σοι, παροιμία ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων.

λευκὴ ϛάθμη, ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων· Σοφοκλῆς Κηδαλίωνι "τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ ϛάθμη." ἐν λευκῷ γὰρ λευκὴ ϛάθμη οὐδὲν δύναται δεικνύναι. ϛάθμη δέ ἐϛι σπάρτος τεκτονική.

λευκός τις ἀνεπήδησ' ὅμοιος Νικίᾳ (A Eccl. 449). οὗτος γυναικώδης ἦν ὁ Νικίας.

λευκὴ ψῆφος, παροιμία ἐπὶ τῶν εὐδαιμόνως ἢ δυϛυχῶς ζώντων.

Λευκίνη πέτρα.

Λεύκιος Δημαράτε τῦ Κορινθίε υἱός. οὗτος εἰς Ῥώμην ὥρμησε πιϛεύων αὐτῷ τε καὶ τοῖς χρήμασι, πεπεισμένος οὐδενὸς ἔλαττον ἕξειν ἐν τῇ πολιτείᾳ διά τινας ἀφορμάς, ἔχων γυναῖκα χρησίμην τά τ' ἄλλα καὶ πρὸς πᾶσαν ἐπιβολὴν πραγματικὴν εὐφυᾶ συνεργόν. παραγενόμενος δὲ εἰς τὴν Ῥώμην καὶ τυχὼν τῆς πολιτείας εὐθέως ἡρμόσατο πρὸς τὴν τοῦ βασιλέως ἀρέσκειαν, ταχὺ δὲ καὶ διὰ τὴν χορηγίαν καὶ διὰ τὴν τῆς φύσεως ἐπιδεξιότητα καὶ μάλιϛα διὰ τὴν ἐκ παίδων ἀγωγὴν ἁρμόσας τῷ προεϛῶτι μεγάλης ἀποδοχῆς ἔτυχε καὶ πίϛεως παρ' αὐτῷ. χρόνου δὲ προϊόντος εἰς τοῦτο ἦλθε παραδοχῆς ὥϛε συνδιοικεῖν καὶ συγχειρίζειν τῷ Μαρκίῳ τὰ κατὰ τὴν βασιλείαν. ἐν δὲ τέτοις ἐπ' ἀγαθῷ πᾶσι γενόμενος, καὶ συνεργῶν καὶ συγκατασκευάζων τοῖς δεομένοις ἀεί τι τῶν χρησίμων, ἅμα δὲ καὶ τῇ τοῦ βίε χορηγίᾳ μεγαλοψύχως εἰς τὸ δέον ἑκάϛοτε καὶ σὺν καιρῷ χρώμενος, ἐν πολλοῖς μὲν ἀπετίθετο χάριν, ἐν πᾶσι δ' εὔνοιαν ἐνειργάσατο καὶ φήμην ἐπὶ καλοκαγαθίᾳ, καὶ τῆς βασιλείας ἔτυχε. Polyb. 6 2.

Λεύκιος Αἰμίλιος ὁ Περσέα νικήσας, κύριος γενόμενος τῆς Μακεδόνων βασιλείας, ἐν ᾗ τῆς ἄλλης χωρὶς κατασκευῆς καὶ χορηγίας ἐν αὐτοῖς εὑρέθη τοῖς θησαυροῖς ἀργυρίου καὶ χρυσίου πλείω τῶν ἑξακισχιλίων ταλάντων, οὐχ οἷον ἐπεθύμησε τέτων τινός, ἀλλ' οὐδ' αὐτόπτης ἐβουλήθη γενέσθαι, δι' ἑτέρων δὲ τὸν χειρισμὸν ἐποιήσατο τῶν προειρημένων, καίτοι κατὰ τὸν ἴδιον βίον οὐ περιττεύων τῇ χορηγίᾳ, τὸ δ' ἐναντίον ἐλλείπων μᾶλλον. μεταλλάξαντος γοῦν αὐτοῦ τὸν βίον οὐ πολὺ κατόπιν τοῦ πολέμε, βεληθέντες οἱ κατὰ φύσιν υἱοὶ Πόπλιος Σκηπίων καὶ Κόιντος Μάξιμος ἀποδῦναι τῇ γυναικὶ τὴν φερνήν, κʹ τάλαντα καὶ εʹ, ἐπὶ τοσοῦτον ἐδυσχρηϛήθησαν ὡς οὐδ' εἰς τέλος ἐδυνήθησαν, εἰ μὴ τὴν ἐνδουχίαν ἀπέδοντο καὶ τὰ σώματα καὶ σὺν τούτοις καί τινας τῶν κτήσεων. Polyb. 18 18.

"κάλλιϛον οὖν σημεῖον κατέλιπε τῆς ἑαυτοῦ προαιρέσεως ἀποθανών· ὁ γὰρ πλεῖϛον μὲν τῶν καθ' αὑτὸν ἐξ Ἰβηρίας χρυσὸν εἰς τὴν Ῥώμην μετενηνοχώς, μεγίϛων δὲ θησαυρῶν κύριος γενόμενος ἐν Μακεδονίᾳ, τοιοῦτον ἀπέλιπε τὸν ἴδιον βίον ὥϛε μὴ δύνασθαι τὴν φερνὴν τῇ γυναικὶ διαλῦσαι πᾶσαν ἐκ τῶν ἐπίπλων, εἰ μὴ τῶν ἐγγείων τινὰς προσαπέδοτο κτήσεων." id.

Λευκοθέη (Hom. ε 334) ὄνομα κύριον.

λευκόν. ὅτι καὶ τὸ λευκὸν ὁμώνυμον, ὥσπερ τὸ ἀγαθόν. τὸ μὲν ἐπὶ τοῦ σώματος λεγόμενον τὸ λευκὸν χρῶμα σημαίνει, ὅπερ ἐϛὶν ὑπὸ τὴν ποιότητα, τὸ δὲ ἐπὶ τῆς φωνῆς τὸ ποιεῖν· λευκὴ γὰρ λέγεται φωνὴ ἡ εὐήκοος, εὐήκορς δέ ἐϛιν ἡ τὴν ἀκοὴν σφοδρῶς καὶ ταχέως ἀλλοιῦσα. ὁμοίως καὶ τὸ ὀξὺ δεικνύοιτ' ἂν ὁμώνυμον. Alex. Aphrod. in Top. 1 p. 57.

Λευκόνιον ὄνομα τόπου.

Λευκονοιεύς. δῆμος τῆς Λεοντίδος οἱ Λευκονοιεῖς. Harp.

λευκοπύγους δειλούς, ὡς μελαμπύγες τοὺς ἀνδρείους.

λευκοὺς λίθες ἔχοντες αὐχῦσιν μέγα." cf. v. λίθων χοαί.

λευκόχρως λευκὸν τὸ σῶμα ἔχων· ἐν ἐπιγράμματι ⟨AP 6 177⟩ "*Δάφνις ὁ λευκόχρως, ὁ καλῇ σύριγγι μελίσδων.*"

*Λεῦκτρα* χωρίον Βοιώτιον περὶ Θεσπιάς. Harp.

λευκώλενος λευκοβραχίων.

λεύκωμα τοῖχος γύψῳ ἀληλιμμένος, πρὸς γραφὴν πολιτικῶν πραγμάτων ἐπιτήδειος.

*Λεύκων* Ἀγνώς ⟨an Ἄγνωνος⟩, γεγονὼς ἐν τοῖς Πελοποννησιακοῖς. τῶν δραμάτων αὐτοῦ ἐστὶ ταῦτα, Ὄνος ἀσκοφόρος, Φράτορες.

λεύσσετε ⟨Hom. *Α* 120⟩ ὁρᾶτε, βλέπετε.

λευστήρ· "ὁ δὲ παλαμναῖος καὶ λευστὴρ ἐκεῖνος ᾔτησεν ἐπωνυμίαν λαβεῖν εὐτυχής," ὁ καταλευσθῆναι ἄξιος, τουτέστι λιθοβοληθῆναι. καὶ Αἰλιανός "ἵνα τὸν τῶν κακῶν αἴτιον καὶ λευστῆρα ἀφανίσωσι."

λευχείμων. συστέλλει. λευκοφόρος.

λευχηπατίας δειλός· συμβαίνει γάρ τι περὶ τὸ ἧπαρ ἐπὶ τινῶν, ὃ δειλοὺς τοὺς ἀνθρώπους ποιεῖ. ἐπὶ τῶν τοιούτων οὖν εἴρηται.

*Λέχαιον* ἐπίνειον Κορινθίων. Harp.

λεχεποίην ⟨Hom. *Β* 697⟩ λέχη ποιοῦντα, ἤτοι ψιάθους.

λέχος συνουσία, κοίτη, μῖξις. λέχει δοτική.

λέχριος πλάγιος· ⟨AP 5 294⟩ "καὶ διαδὺς λέχριος ἐν θαλάμῳ."

λεχώ ἡ ἀρτίτοκος· καὶ ἐν ἐπιγράμμασι ⟨AP 6 271⟩ "οὕνεκά οἱ πρηεῖα λεχοῖ δισσὰς ὑπερίσχες χεῖρας, ἄτερ τόξου πότνια νισσομένη."

λεχώια τὰ ἐπὶ τῇ λοχείᾳ συμβαίνοντα· ⟨AP 7 166⟩ "ἀλλὰ κόραι τῇ παιδὶ λεχώια δῶρα φέρουσαι, θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου."

*Λεωγόρας* ὄνομα κύριον· ὃς ἦν πατὴρ Ἀνδοκίδου τοῦ ῥήτορος.

*Λεωδάμας* ὄνομα κύριον.

a λεωκόριον τόπος τῆς Ἀττικῆς, ἀπὸ ἱστορίας. ἐλίμωξέ ποτε ἡ Ἀττική, καὶ λύσις ἦν τῶν δεινῶν παιδὸς σφαγή. Λεὼς οὖν τις τὰς ἑαυτοῦ θυγατέρας ἐπιδέδωκε, καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν· καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος Λεωκόριον. sch. Thuc. 1 20.

b λεωκόριον ἡρῷον ἐν μέσῳ τῷ Κεραμεικῷ· Λεὼς γὰρ ὁ Ὀρφέως υἱὸν μὲν ἔσχε Κύλανθον, θυγατέρας δὲ τρεῖς, Φασιθέαν Θεόπην Εὐβούλην, ἃς ὑπὲρ τῆς χώρας σφαγιασθείσας ἔτι παρθένους ἐτίμησαν Ἀθηναῖοι τῷ ἡρῴῳ.

*Λεωκράτης*. καὶ κλίνεται εἰς ους.

*Λεώκριτος*· ⟨A Ran. 1485⟩ "εἴ τις πτερώσας Λεώκριτον Κινησίᾳ, αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα." ὡς λεπτὸς ὢν σφόδρα ὁ Κινησίας κωμῳδεῖται, καὶ ὡς ξένος καὶ ὡς κόλαξ. ἐμνήσθη δὲ τῶν δύο ὡς ὁμοφρονούντων. ἢ ὅτι ὁ Κινησίας λεπτὸς ἦν, ὁ δὲ Λεώκριτος μοχθηρός. φησὶν οὖν ὅτι, εἴ τις ἀντὶ πτερῶν Λεωκρίτῳ Κινησίαν περιβάλοι ὥστε φέρεσθαι μεταρσίους, συμβήσεται αὐτοὺς ὀλέσθαι ἀεροφορήτους γενομένους.

*Λέων* Ἀλαβανδεὺς ῥήτωρ ἔγραψε Καρικῶν βιβλία δ', Λυκιακὰ ἐν βιβλίοις β', τέχνην, περὶ στάσεων, τὸν ἱερὸν πόλεμον Φωκέων καὶ Βοιωτῶν. a

*Λέων* βασιλεὺς Ῥωμαίων, ὁ Μακέλλης, b ὃς ἔδοξε τῶν πρὸ αὐτοῦ βασιλέων ἁπάντων εὐτυχέστατος εἶναι, καὶ φοβερὸς ἅπασι τοῖς τε ὑπ' ἐκείνου τὴν βασιλείαν τελοῦσι καὶ τῶν βαρβάρων αὐτῶν ὅσοις εἰς φήμην ἀφίκετο. καὶ ταύτην μὲν τοῖς πολλοῖς καταλέλοιπε τὴν δόξαν· "ἐγὼ δέ" φησὶ Μάλχος ⟨p. 269 Nieb.⟩ "εὐτυχίαν οὐκ οἶμαι, εἴ τις τῶν ἀρχομένων τὰ ὄντα διασυλῶν, καὶ μισθούμενος ἀεὶ συκοφάντας εἰς τοῦτο, καὶ κατηγορῶν αὐτὸς ὅτε μὴ ἄλλον ἀνηύρισκε, καὶ τὸν χρυσὸν ἐξ ἁπάσης τῆς γῆς συλλεξάμενος ἑαυτῷ μόνῳ κατάθοιτο, ἐρήμους μὲν τὰς πόλεις ἥσπερ ἔμπροσθεν εἶχον εὐπορίας ποιήσας, ὡς μηκέτι τοὺς φόρους, οὓς ἐτέλουν, δύνασθαι μετ' εὐχερείας ἀπενεγκεῖν." καὶ ἁπλῶς πάσης κακίας ἀπισχυρίζεται ὁ Μάλχος γενέσθαι αὐτὸν καταγώγιον· ὅς γε καὶ Ὑπερέχιον τὸν γραμματικὸν ἐφυγάδευσέ ποτε, καὶ τῷ Εὐλογίῳ τῷ φιλοσόφῳ σιτηρέσιον εἰπὼν δοθῆναι, τινὸς τῶν εὐνούχων λέγοντος ὅτι ταῦτα εἰς στρατιώτας προσήκοι δαπανᾶσθαι, εἶπεν "εἴθε γένοιτο ἐπὶ τοῦ ἐμοῦ χρόνου ὥστε τὰ τῶν στρατιωτῶν εἰς διδασκάλους παρέχεσθαι." ἐπὶ τῶν χρόνων αὐτοῦ Ἀκάκιος ἐγένετο πατριάρχης.

*Λέων* Λέοντος Βυζάντιος, φιλόσοφος c περιπατητικὸς καὶ σοφιστής, μαθητὴς Πλάτωνος ἢ ὥς τινες Ἀριστοτέλους, ἔγραψε τὰ κατὰ Φίλιππον καὶ τὸ Βυζάντιον βιβλίοις ζ', Τευθραντικόν, περὶ Βησαίου, τὸν ἱερὸν πόλεμον, περὶ στάσεων, τὰ κατ' Ἀλέξανδρον. οὗτος ἦν σφόδρα παχύς, καὶ πρεσβεύσας

πρὸς Ἀθηναίυς γέλωτα ἐκίνησε καὶ τῆς πρεσβείας ἐκράτησεν, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαςέρα. ταραχθεὶς δὲ οὐδὲν ἀπὸ τοῦ γέλωτος "τί" ἔφη "ὦ Ἀθηναῖοι γελᾶτε; ἢ ὅτι παχὺς ἐγὼ καὶ τοσοῦτος; ἔςι μοι καὶ γυνὴ πολλῷ παχυτέρα, καὶ ὁμονοῦντας μὲν ἡμᾶς χωρεῖ ἡ κλίνη, διαφερομένυς δὲ οὐδὲ ἡ οἰκία." καὶ εἰς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ. ὗτος ὁ Λέων ἀποκρουόμενος τὸν Φίλιππον ἀπὸ τοῦ Βυζαντίυ διεβλήθη παρὰ Φιλίππυ πρὸς τοὺς Βυζαντίυς δι' ἐπιςολῆς ἐχούσης οὕτως "εἰ τοσαῦτα χρήματα παρεῖχον Λέοντι ὁπόσα με ᾐτεῖτο, ἐκ πρώτης ἂν ἔλαβον τὸ Βυζάντιον." ταῦτα ἀκούσαντος τῦ δήμου καὶ ἐπισυςάντος τῇ οἰκίᾳ τοῦ Λέοντος, φοβηθεὶς μή πως λιθόλευςος παρ' αὐτῶν γένηται, ἑαυτὸν ἦγξε, μηδὲν ἀπὸ τῆς σοφίας καὶ τῶν λόγων κερδάνας ὁ δείλαιος. cf. Philostrat. V. S. 1.

d *Λέων.* οὗτος ςρατηγὸς ἐπέμφθη παρὰ Εὐτροπίου τοῦ εὐνούχου κατὰ τῶν βαρβάρων, εὔκολος ὢν καὶ διὰ μελέτην μέθης εὐπαράγωγος· ἦν γὰρ αὐτῷ τὸ ἀνδρεῖον ἐπὶ τούτῳ συνηναγκασμένον, πλείους ἔχειν παλλακίδας τῶν ςρατιωτῶν, καὶ πλείονα πίνειν ἢ ὅσα πάντες ἄνθρωποι πίνουσι. Eunap. p. 114 Nieb.

*λέων* λέων σοι γέγονεν, ἔκμαγμα σόν, τά τ' ἄλλ' ἁπαξάπαντα καὶ τὸ πόσθιον τῷ σῷ προσόμοιον, ςρεβλὸν ὥσπερ κύτταρον" ⟨A Th. 521⟩. ἐπὶ τῶν μοιχευομένων καὶ τικτουσῶν γυναικῶν. κύτταρος δὲ τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος.

*Λεωνᾶς* σοφιςής, Ἴσαυρος τὸ γένος, εὐδοκιμῶν ἐν τῷ πλήθει τῶν ἐν Ἀλεξανδρείᾳ ὁμοτέχνων, ὃς Πρόκλῳ οὐ μόνον τῶν ἑαυτῦ λόγων ἐκοινώνησεν, ἀλλὰ καὶ σύνοικον ἔχειν ἠξίου καὶ συνδιαιτᾶσθαι γυναικὶ καὶ τέκνοις παρεσκεύασεν, οἷα παῖδα γνήσιον καὶ τῦτον γενόμενον. γνώριμον δὲ αὐτὸν ἐποίει καὶ τοῖς τὰς ἡνίας ἔχουσι τῆς Αἰγύπτου. Marinus 8.

*Λεωνίδεω δῶρα* ⟨AP 6 191⟩.

*Λεωνίδης* Λακεδαιμονίων βασιλεύς, Ἀναξανδρίδου, ἀφ' Ἡρακλέους κ' βασιλεύς. οὗτος ἡγεμὼν τῶν εἰς Θερμοπύλας ἀπαντησάντων Ἑλλήνων ἦν· ἐν δὲ τῷ τόπῳ τούτῳ λέγεται τὸν Ἡρακλέα ἀποθέμενον τὸ σῶμα ἀποθεωθῆναι. Λεωνίδης δὲ ἀπαγγελθέντος ὅτι τοξευόντων τῶν Περσῶν ὁ ἥλιος ἀφανὴς γίνεται, "θαρρῶμεν" ἔφη, "ὅτι ὑπὸ σκιᾷ μαχεσόμεθα." ἀριςοποιουμένοις δὲ τοῖς ςρατιώταις "ἀριςᾶτε" ἔφη "ὡς ἐν Ἅδυ δειπνήσοντες." ἐπελθόντος δὲ τοῦ βασιλέως οἱ μὲν ἄλλοι πάντες τὸ πλῆθος εὐλαβηθέντες ἔφυγον, Θηβαῖοι δὲ ηὐτομόλησαν· οὓς λαβὼν ἔςιξε βασιλεύς. ἐπιγέγραπται ἐπὶ Λεωνίδου ἐπίγραμμα ⟨AP 7 249⟩ "ὦ ξεῖν' ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι." οὗτος ὁ Λεωνίδης περὶ Θερμοπύλας ἅμα τριακοσίοις ἀντέςη Ξέρξῃ, καὶ ἀριςεύων ἐτελεύτησε, κυκλωθεὶς ἐκ προδοσίας, Ἐφιάλτου τινὸς δείξαντος Πέρσαις τὴν διὰ τῶν ὀρῶν ὁδόν. "ὁ δὲ Μακεδὼν ἐκεῖνος, εἴτε Λεωνίδης τὸ φρόνημα ἢ Καλλίμαχος ἢ Κυναίγειρος, ἀρκέσει δὲ τὸ Ῥωμαῖον ἀποκαλεῖν, ὡς τῶν λόγων τῶν ἰατρικῶν ὑπήσθετο, ἤρετο εἰ τὸ Ῥωμαϊκὸν εἴη νενικηκός" ⟨Theophyl. Sim. 2 6⟩.

*λεωπετρία* λεῖος λίθος· "δυνατόν ἐςιν ἀπό τινος λεωπετρίας ἀπόβασιν ποιησαμένους ἐκ θαλάττης εἰς τὴν χερρόνησον κατὰ νώτου γενέσθαι τῶν πολεμίων."

*λεωργός·* Αἰσχύλος ⟨Prom. 5⟩ "πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι," περὶ Προμηθέως. τουτέςιν ὁ πάντολμος, ὁ ὑπὲρ τοῦ λεὼ ἀποθνήσκων.

*λεώς* ὁ λαός, ὁ ὄχλος, ἀττικῶς.

*Λεωσθένης* ςρατηγὸς τῶν Ἀθηναίων. οὗτος ἐν τῷ πρὸς τοὺς Μακεδόνας πολέμῳ προθυμίᾳ χρησάμενος τοῦ καιροῦ προθυμοτέρᾳ καὶ τῇ παραπεσούσῃ εὐπραγίᾳ κατὰ τῶν πολεμίων ἐπεξιὼν τήν τε ἐμβολὴν ἀφειδῆ ποιεῖται, καὶ λίθῳ πληγεὶς πρὸς τὴν κεφαλὴν ἀφυλάκτως ἐπὶ τῆς παρατάξεως πίπτει.

*Λεώςρατος* ὄνομα κύριον.

*Λεωτροφίδης.* οὗτος χλωρὸς ἦν καὶ λεπτὸς ὡς ἐοικέναι ὄρνιθι, ὡς Κινησίας τῶν σφόδρα λεπτῶν· καὶ κοῦφος ἦν διθυραμβοποιὸς ὁ Λεωτροφίδης. Ἕρμιππος "ἀνάπηρά σοι θύυσιν ἤδη βοίδια, Λεωτροφίδυ λεπτότερα καὶ Θουμάντιδος." sch. A Av. 1406.

*Λεωτυχίδης* ὁ τοῦ Λεωτύχου.

*λεωφόρος* ὁδὸς δημοσία.

*Λεωχάρης* Λεωχάρους.

*ληγατάριος* ⟨ληγᾶτος?⟩ εἶδος ἄρχοντος παρὰ Ῥωμαίοις. καὶ *ληγᾶτον* τὸ ἐν διαθήκαις λιμπανόμενον παρὰ Ῥωμαίοις.

*λῆγε* παύου.

λῃδάριον θέριςρον. ἄλλως, εὐτελὲς ἱμάτιον θερινόν· Ἀριςοφάνης ⟨Av. 716⟩ "καὶ λῃδάριόν τι πρίασθαι."

Λήδας υἱέε Κάςωρ καὶ Πολυδεύκης.

Λήδη ὄνομα κύριον.

λήδιον τὸ τριβώνιον.

λήθαργος ἐπιλήσμων.

λήθαργος κύων ὁ προσσαίνων μὲν λάθρᾳ δὲ δάκνων. καὶ τῶν ἵππων οἱ μὲν ἀμελεῖς καὶ ἀβλεμεῖς καὶ νωθροὶ λήθαργοι καλοῦνται. ἔςι δὲ καὶ πάθος τι σὺν πυρετῷ.

ληθεδανός.

Ληθεδόνος ὄνομα πηγῆς.

ληθεδών λήθη. λήθη δέ ἐςιν ἀποβολὴ ἐπιςήμης· ἐν ἐπιγράμματι ⟨AP 7 17⟩ "ἔργα δὲ φώτων ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα."

λήθη· "ὃ δὲ τοὺς θείους ἐξηγητὰς ἀπεγράφετο μάλα ἀκριβῶς, εἰς τὸ τῆς λήθης γῆρας, ὡς ἔφη ὁ Πλάτων, ὑπομνήματα καταλείπων ἑαυτῷ καὶ ἀποθησαυριζόμενος" ⟨Damasc. Phot. p. 345⟩. λήθην κυνῶν. λήθην ἐμποιούντων φαρμάκων. "τῶν τετολμημένων σφίσι λήθην καταχέαντες" ⟨cf. v. ἔμπηρα⟩ ἀντὶ τοῦ τολμητίαι γενόμενοι.

Λῆθος ὄνομα κύριον.

ληθότης ἡ ἐπιλησμοσύνη.

λήθω λανθάνω. καὶ λήσομεν ὁμοίως.

λήια σιτοφόρα πεδία, χωράφια.

ληιβότειρα καὶ ληιβοτείρης ⟨Hom. σ 29⟩. ληιβοτήρ δὲ ὁ ἄγριος σῦς.

ληίδα ⟨Hom. *I* 138⟩ τὴν λαφυραγωγίαν.

ληίζεται αἰχμαλωτίζει, διαρπάζει, πορθεῖ, ἐρημοῖ. ἴσως δὲ καὶ ἐν παθητικῷ σημαινομένῳ λέγεται.

λήιον ⟨an λήδιον⟩ εὐτελὲς κολόβιον.

ληισθείς λῃςευθείς. καὶ λῃςικὸν τάγμα καὶ πλῆθος, λῃςρικὸν δὲ κτῆμα.

ληίσσατο ⟨Hom. Σ 28⟩ ἐμερίσατο, ἢ ἐλαφυραγώγησε.

ληιςός ὁ κτητός.

ληῖτις ληίτιδος ⟨Hom. *K* 460⟩. Λήιτος δὲ ⟨*B* 494⟩ Ληίτου.

ληκεῖν τὸ φωνεῖν.

ληκινθάδιος.

ληκυθίζειν τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. sch. A Ach. 589.

ληκύθιον ἀγγεῖον· "εἶχε δὲ καὶ ἐν τῇ ζώνῃ ληκύθιον παρηρτημένον, ἐν ᾧ τὸ φάρμακον ἦν τὸ θανάσιμον." καὶ Ἀριςοφάνης ⟨Ran. 1209⟩ "οὐ κατ' ἔπος γέ σου κνίσω τὸ ῥῆμ' ἕκαςον, ἀλλὰ ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ." μικροπρεπῶς γὰρ ἔλεγον κωδάριον ληκύθιον θυλάκιον.

ληκυθιςής ὁ μικρόφωνος· οὕτω Σοφοκλῆς. καὶ ληκυθισμός· "περιενεγκεῖν εὐστρόφως καὶ κεκλασμένως τὸν ληκυθισμὸν τῶν αἰσχρῶν καὶ γελοίων ᾀσμάτων," τουτέςι τὴν εὐφωνίαν.

λήκυθον τὴν τοῦ μύρου Ἀττικοὶ καλοῦσιν ἀλάβαςρον· ἀρσενικῶς δὲ τὸν ἀλάβαςρον εἶπεν Ἡρόδοτος ⟨3 20⟩. τὰ ἐλαιοδόχα ἀγγεῖα· Ἀριςοφάνης Πλούτῳ ⟨811⟩ "αἱ δὲ λήκυθοι μύρου γέμουσι." καὶ αὖθις ⟨Av. 1588⟩ "ἔλαιον οὐκ ἔνεςιν ἐν τῇ ληκύθῳ," ἀντὶ τοῦ οὐκ ἐλεοῦμεν, οὐ πειθόμεθα. "Ζήνων ὁ Κιτιεὺς ποιήσας κοῖλον ἐπίθεμα τῇ ληκύθῳ περιέφερε νόμισμα, λύσιν ἕτοιμον τῶν ἀναγκαίων ἵν' ἔχοι Κράτης" ⟨Diog. L. 7 12⟩.

λήκυθος θηλυκῶς παρὰ Ἀριστοφάνει ⟨Eccl. 988⟩ "ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους, ὁ τῶν γραφέων ἄριςος." τοιαῦτα γάρ τινα ἐν τοῖς μνήμασιν ἔγραφον. καὶ αὖθις ⟨Eccl. 1024⟩ "παράθου τὰς ληκύθους."

ληκώμεθα κινώμεθα· Ἀριςοφάνης ⟨Th. 493⟩ "μάλισθ' ὅταν ὑπό του ληκώμεθα τὴν νύχθ' ὅλην."

λῆμα ἀξία καὶ ἀνδρεία, φρόνημα· "τοιοῦτον γὰρ ὁ παῖς ὅδε λῆμα φαίνει." καὶ Ἀριςοφάνης Νεφέλαις ⟨457⟩ "λῆμα μὲν πάρεςι τῷδέ γ' οὐκ ἄτολμον," τουτέςι τολμηρόν. καὶ αὖθις ⟨Eq. 754⟩ "λῆμα θούριον," τουτέςι φρόνημα πολεμικόν. καὶ αὖθις ⟨Th. 465⟩ "ἕτερον αὖ τι λῆμα τοῦτο κομψότερον ἔτ' ἢ τὸ πρότερον ἀναπέφηνε." καὶ αὖθις ⟨Ran. 615⟩ "παρέξω ἐμαυτὸν ἀνδρεῖον τὸ λῆμα καὶ βλέποντ' ὀρίγανον," ἀντὶ τοῦ βλέποντα δριμύ. Ἡρόδοτος ⟨7 99⟩ "ἡ δὲ Ἀρτεμισία ὑπὸ λήματος καὶ ἀνδρηίης ἐςρατεύετο, οὐδεμιῆς ἐούσης ἀναγκαίης." περὶ δὲ Εὐριπίδου καὶ Αἰσχύλου ⟨A Ran. 927⟩ "λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν." τὸ δὲ διὰ τῶν δύο μ γραφόμενον, λῆμμα, αἱ προτάσεις παρὰ Ἀριςοτέλει, τουτέςιν ἡ ἐρώτησις. ἡ γὰρ ἐρώτησις αἰτία τῆς ἀποκρίσεως, ἥτις ἐςὶν ἐξ ἧς ὁ συλλογισμός· ἣν καὶ λῆμμα λέγουσι. καὶ μονολήμματος πρότασις, οἷον "ἀναπνεῖς· ζῇς ἄρα." πρόδηλον γὰρ τὸ παραλελειμμένον, τὸ "πᾶν τὸ ἀναπνέον ζῇ." τοιαῦτά ἐςι καὶ τὰ ἐνθυμήματα. "οὗτοι κολάσεως ἄξιοι· ἱερό-

συλοι γάρ.” παρεῖται γὰρ τὸ τὰς ἱεροσύλους
ἀξίους εἶναι κολάσεως.

λημαλέος.

λημάτια τὰ βουλεύματα.

λη μ α τ ι ᾷ ς ⟨A Ran. 469⟩. λῆμά ἐστι τὸ
φρόνημα· λη μ α τ ι ᾷ ς οὖν μέγα φρονεῖς. λέγε-
ται δὲ καὶ χωρὶς τοῦ ι λη μ α τ ί α ς ὁ μεγα-
λόφρων καὶ ἰσχυρός.

λη μ α τ ί α ς φρονηματίας, γεννάδας.

λή μ η λευκὸν ὑγρὸν ἐν ὀφθαλμοῖς συνα-
γόμενον καὶ ἀμβλυώττειν παρασκευάζον,
παρὰ τὸ λεύω τὸ βλέπω, καὶ τὸ μή· Ἀριστο-
φάνης ⟨Plut. 581⟩ “ἀλλ’ ὦ κρονικαῖς γνώμαις
ὄντως λημῶντες τὰς φρένας,” ἤγουν ἀρχαί-
αις μωρίαις ἐσκοτισμένοι τὰς φρένας. ἔστι
δὲ καὶ παροιμία ἐπὶ τῶν ἀμβλυωπούντων.
λήμη δ’ ἐστὶ τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπι-
καθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. ση-
μαίνει οὖν τὸ τετυφλωμένοι τὰς φρένας,
ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμιών-
των ἐμποδίζονται τὰς ὄψεις. καὶ λη μ ῶ τὸ
ἀμβλυώττω. καὶ λη μ ῶ ν τ ε ς τ ὰ ς ὀ φ θ α λ-
μ ο ύ ς.

λή μ μ α τ α προφητεῖαι. λέγεται δὲ καὶ τὰ
ἐξ οἰκείας καρδίας ἀποφθέγματα.

*Λημνία δίκη* ἡ κακίστη.

*Λημνίᾳ χειρί* ὠμῇ καὶ παρανόμῳ, ἀπὸ
τῆς ἱστορίας· φασὶ γὰρ τὰς ἐν Λήμνῳ γυ-
ναῖκας τοὺς ἄνδρας αὐτῶν ἀνελεῖν, αἰτιωμέ-
νας ὅτι αὐταῖς οὐκ ἐμίγνυντο.

*Λήμνιον βλέπων* πυρῶδες. καὶ πα-
ροιμία “Λήμνιον κακόν·” ἐκ γὰρ Ἀθηνῶν
ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι καὶ τεκνο-
ποιησάμενοι ἐξ αὐτῶν κατέσφαξαν αὐτὰς
μετὰ τῶν τέκνων. ἐπεὶ δὲ πάντας αἱ γυναῖ-
κες τοὺς ἄνδρας, ὅτι αὐταῖς οὐ προσεῖχον,
ἀνεῖλον ἅμα ταῖς τῶν Θρᾳκῶν γυναιξὶν ἐπὶ
τῇ δυσωδίᾳ, ἣν Μυρσίλος μὲν διὰ τὸν Μη-
δείας ἐπὶ Ὑψιπύλῃ ζῆλον κατασχεῖν, Καύ-
κασος δὲ διὰ τὸ ὀλιγωρῆσαι τῆς Ἀφροδίτης
τὰς Λημνίας, ἔνθεν τὰ μεγάλα κακὰ Λή-
μνια λέγεται. cf. sch. Apollon. Rh. 1 609.

*Λήμνιον πῦρ* ⟨A Lys. 299⟩. ἔστιν ἀνα-
φορὰ ἐν Λήμνῳ πυρὸς χαλεπή τις.

*Λήμνιος ἀνήρ* ἀπὸ τῆς Λήμνου νήσου.

*Λημνόθεν.*

λήναια ὄνομα ἑορτῆς ἐν Ἀθήναις.

ληναΐζω.

ληναΐτης χορὸς ὁ τῶν ληναίων.

ληναιών ληναιῶνος ὄνομα μηνός.

ληνίς ληνίδος ἡ βάκχη.

ληνοβάται οἱ ἱερεῖς.

ληνός καὶ προλήνιον αἱ ἐκκλησίαι
παρὰ τῷ Δαβίδ ⟨Ps. 8 1⟩.

ληξιαρχικὸν γραμματεῖον. Ἀθη- a
ναίων τῶν ἀστῶν τῶν ἐχόντων ἡλικίαν ἄρ-
χειν ἀναγράφεται τὸ ὄνομα, προστιθεμένων
τῶν δήμων αὐτοῖς· καὶ ἐξ ἐκείνων τῶν γραμ-
ματείων κληροῦσι τὰς ἀρχάς.

ληξιαρχικὸν γραμματεῖον, εἰς ὃ ἐνε- b
γράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς
ἐξῆν τὰ πατρῷα οἰκονομεῖν. παρὸ καὶ τοὔ-
νομα γέγονε, διὰ τὸ τῶν λήξεων ἄρχειν· λή-
ξεις δέ εἰσιν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι. Harp.

λῆξιν δίκης καὶ λαχεῖν δίκην τὸ κα-
ταγγεῖλαι κρίσιν ἰδιωτικῶν πραγμάτων φασί.
τὸ δ’ ἀντικαλέσαι ἀντιλαχεῖν, τὸ δὲ δια-
νείμασθαι χρήματα διαλαχεῖν.

λῆξις τὸ ἔγκλημα. καθ’ οἷον λόγον φα- a
μὲν καὶ λαχεῖν δίκην. Harp.

λῆξις παῦσις· ἢ μερίς, κληρονομία. Αἰ- b
λιανός “καὶ θάπτει τὸν νεκρόν, τοῖς χθονίοις
θεοῖς ἀποδιδοὺς τῆς ἐκείνων λήξεως ἤδη.”
καὶ αὖθις “λήξει οὐ μὰ Δία εὐκλήρῳ χρό-
νου τὰ Αἰγυπτίων κακὰ τῶν ἐν τῇ πόλει τῇ
Ἀλεξάνδρου ἐγκατέσκηψε καὶ τῇ Ῥώμῃ.”

*Ληουΐας.*

ληρεῖς φλυαρεῖς· Ἀριστοφάνης ⟨Nub.
1275⟩ “τί δῆτα ληρεῖς ὥσπερ ἀπ’ ὄνου κατα-
πεσών;” λέγεται καὶ ἀπὸ νοῦ. καὶ αὖθις
⟨Plut. 517⟩ “λῆρον ληρεῖς” ἀντὶ τοῦ κατὰ λῆ-
ρον. Ἀττικὴ δὲ ἡ φράσις καὶ τὸ σχῆμα, ὡς
τὸ μανίαν μαίνῃ. ἔστι δὲ Ἀττικὸν τὸ σχῆμα,
τὸ εἰπόντα τὸ πρᾶγμα ἐπαγαγεῖν τὸ ἀπὸ τοῦ
πράγματος ῥῆμα, ὡς τὸ ὕβριν ὑβρίζεις καὶ
φυγὴν φεύγεις.

ληρεῖς ἔχων ⟨A Ran. 515⟩. παρέλκει τὸ
ἔχων.

... ἐν ἐπιγράμμασι ⟨AP 6 292⟩ “καὶ λη-
ρῶν οἱ χρύσεοι κάλαμοι.”

λῆρος φλύαρος, ματαιόφημος· “πολλὰ a
γάρ μοι ταῦτα καὶ ἐκ μειρακίων ἐδόκει λῆ-
ροί τε καὶ φλήναφοι.”

λῆρος. ὅτι ὁ νοῦς ἐν τῷ γήρᾳ λήροις b
καταληφθεὶς οὐκ αὐτὸς εἰς ἑαυτὸν τὸ πάθος
ἀνεδέξατο, ἵνα καὶ φθαρτὸς καὶ θνητὸς νο-
μισθῇ· τοῦ δὲ ὀργάνου ἀλλοιωθέντος καὶ τὴν
ἀπὸ τοῦ νοῦ ἐνέργειαν διὰ ἀνεπιτηδειότητα
μὴ δυναμένου δέξασθαι, τὸ πάθος τοῦ ὀρ-
γάνου πάθος ἔδοξεν εἶναι καὶ τοῦ κινοῦντος

αὐτὸ νοῦ. καὶ γὰρ τοῦ ὄμματος λημῶντος ἢ καὶ τῷ γήραι πρὸς ἀνεπιτηδειότητα μεταβαλόντος ἡ μὲν αἴσθησις οὐδὲν ἧττον μένει ἀπαθής, τὸ δὲ αἰσθητήριον ἐμπαθὲς ἢ ὅλως ἄχρηστον γίνεται καὶ ἀργόν. τὸ δὲ αἴτιον τοῦ μὴ συνδιαφθείρεσθαι τῷ αἰσθητηρίῳ καὶ τὴν αἰσθητικὴν δύναμιν τὸ μηδὲ ἐν τούτῳ τῷ σώματι ἔχειν τὸ εἶναι τὴν αἰσθητικὴν δύναμιν, ἀλλ' ἐν τῷ πνεύματι. οὕτω δὲ καὶ τὰ τῶν γερόντων ὄμματα ὑπὸ τοῦ χρόνου ἐξασθενήσαντα, καὶ τῶν χιτώνων παχυτέρων γενομένων καὶ οἷον ἐρρυτιδωμένων καὶ οὐχ οὕτω διαφανῶν, ἔτι τε καὶ τῶν ἐντὸς ὑγρῶν ξηροτέρων ὑπὸ τοῦ χρόνου καὶ πεπηγότων καὶ οὐ δυναμένων τὰ ἀπὸ τῶν αἰσθητῶν πάθη διαπορθμεύειν ἐπὶ τὸ ὀπτικὸν πνεῦμα, συμβαίνει τοὺς γέροντας ἧττον ὁρᾶν. καὶ ἐπὶ τῶν λήρων οὐχ ὁ νοῦς ληρεῖ, ἀλλ' ἡ τοῦ ὀργάνου πρὸς τὸ χεῖρον μεταβολὴ καὶ ἀνεπιτηδειότης πάσχει τε καὶ τοὺς λήρους ἐμποιεῖ, οὐκ ἐν τῷ γήραι μόνον ἀλλὰ καὶ ἐν τῇ νεότητι, νοσημάτων τινῶν φρενιτικῶν ἢ ληθαργικῶν τὸ σῶμα κατειληφότων. cf. Philopon. in 1 de anima, *E* 5 a.

ἢ ὅτι ἡ ἐπιτεταμένη βλάβη τοῦ νοῦ παραφροσύνη λέγεται, ἡ δὲ μέση λῆρος, ἡ δὲ ὑφειμένη παράληρος. **λιρὸς** δὲ ὁ ἀναιδής, παρὰ τὸ λίαν ὁρᾶν, διὰ τοῦ ι.

**λήσεις** ἀγνοήσεις· ⟨A Pac. 62⟩ "λήσεις σεαυτοῦ τὰς πόλεις ἐκκοκκίσας," τέλεον ἀπολέσας.

**λήσομαι** ἐπιλάθωμαι.

**λησταί**· Πισίδης "ἐν τῷ παραδείσῳ τῆς ἀοιδίμου μάχης γίνεσθε λησταί" ἀντὶ τοῦ μιμούμενοι τὸν ληστήν. καὶ ληστὴς μὲν ὁ ἐν ἠπείρῳ, πειρατὴς δὲ ὁ ἐν θαλάσσῃ. καὶ **ληστικὸν** σύστημα, **ληστρικὸν** δὲ χρῆμα ἢ κτῆμα· "Κοστόβων τὸ ληστικὸν τὴν Ἑλλάδα ἐπέδραμεν." "ὃ δὲ πάντων τῶν μέσων ἀνδρῶν ἀσθενέστατος ὢν ληστικὸν ἐν τῇ Ἀπουλίᾳ χ' ἀνδρῶν συνέστησε." cf. v. ληισθείς.

**λήσταρχος** ἀρχηγὸς ληστῶν.

**ληστεία.**

**λῆστις** ἡ λήθη· Σοφοκλῆς ⟨OC 583⟩ "τὰ λοίσθι' αἰτῇ τοῦ βίου, τὰ δ' ἐν μέσῳ ἢ λῆστιν ἴσχεις ἢ δι' οὐδενὸς ποιῇ." ἢ τοῦ ζῆν ἐπιλέλησαι, ἢ οὐ φροντίζεις. Οἰδίπους "ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται," τουτέστι διὰ τοῦ τέλους καὶ τὰ μέσα τοῦ βίου εὐτυχήσει· προσδοκῶν γὰρ σὺ ὠφεληθήσεσθαι παρ' ἐμοῦ ὅταν ἀποθάνω, ζῶντά με γηροβοσκήσεις.

**Λητώ** ἡ μήτηρ τοῦ Ἀπόλλωνος.

**ληφθῆναι** κρατηθῆναι.

**λιαινούσης** πραϋνούσης.

**λίαν** πάνυ.

**λιαρόν** θερμόν.

**λιασθείς** ⟨Hom. *Λ* 349⟩ ἐκκλίνας.

**λιαστής.**

**λιβάδα** σταγόνα, κρήνην, ἔνυδρον τόπον· ἐν ἐπιγράμματι ⟨AP 6 170⟩ "καὶ λιβάδες καὶ ταῦτα βοτηρικὰ κύπελλα." λιβάς λιβάδος ὁ σταλαγμὸς τῶν δακρύων.

**Λιβαδεία** ⟨immo *Λεβάδεια*⟩ πόλις τῆς Βοιωτίας.

**Λιβάνιος** σοφιστὴς Ἀντιοχεύς, τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ βασιλέως χρόνων, καὶ μέχρι Θεοδοσίου τοῦ πρεσβύτου, Φασγανίου πατρός, μαθητὴς Διοφάντου, ἔγραψεν ἄπειρα, ἐν οἷς ἐγκώμιον εἰς Κωνστάντιον τὸν βασιλέα, ἕτερον εἰς Ἰουλιανόν, μελέτας ῥητορικάς, καὶ ἐπιστολάς. οὗτος καὶ ἐπὶ τῶν χρόνων ἦν Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ θεολόγου. "ὁ δὲ Ἰουλιανὸς ὁ παραβάτης, καίπερ τοσούτοις ἐμβεβηκώς, τῆς τε περὶ λόγους ἥπτετο φιλοτιμίας καὶ τὸν τῆς Ἀντιοχείας σοφιστήν, ᾧ Λιβάνιος ὄνομα, διαφερόντως ἐθαύμασεν, τὰ μὲν ἴσως ἐπαινῶν, τὰ δὲ ὅπως λυποίη τὸν μέγαν σοφιστὴν Προαιρέσιον, προτιμῶν ἕτερον. Ἀκάκιος γοῦν τις αὐτῷ τῶν περὶ ῥητορικὴν δεινῶν καὶ ὁ ἐκ Φρυγίας Τουσκιανὸς ἀεὶ πρὸς ταῦτα ἐπεκάλουν, καὶ διεμέμφοντο τὰς κρίσεις." cf. v. Ἀκάκιος.

**Λίβανος** ὄνομα ὄρους.

**λιβανωτίς** πόα.

**λιβανωτός** ὁ καρπὸς τοῦ λιβάνου, λίβανος δὲ αὐτὸ τὸ φυτόν. sch. A Plut. 703.

**λίβερνα** εἶδος πλοίου, καράβια. "πηξάμενος δρομάδας τριακοντήρεις λιβερνίδων τύπῳ."

**Λίβερνος** ὄνομα τόπου, ἀπό τινος ἱστορίας. ἐν γὰρ τῇ Ῥώμῃ ὑπατεύοντος Κοΐντου τοῦ Σερβιλίου χάσμα κατὰ μέσην ἀγορὰν διαστάσης τῆς γῆς γέγονε. γνόντες δὲ οἱ Ῥωμαῖοι ἐκ τῶν Σιβύλλης λογίων ὅτι συνελεύσεται ἡ γῆ, ἢν τὸ τιμιώτατον ἐν ἀνθρώποις ἐμβληθείη τῷ χάσματι, ἐπέφερον οἱ μὲν χρυσὸν οἱ δὲ ἄργυρον οἱ δὲ καρπούς, οἱ δὲ ὅτι μάλιστα τιμιώτατον καὶ συμβαίνειν τῶν ὑπὸ

τῶν λεγομένων ἱερῶν ὑπελάμβανον. μένοντος δ' οὐδέν τι μεῖον τοῦ χάσματος, Κούρτιος ἀνὴρ ὀφθῆναί τε κάλλιϛος καὶ τὴν ψυχὴν ἄριϛος ἔφη συνιέναι βέλτιον τῶν ἄλλων τοῦ Σιβυλλείου· τιμιώτατον γὰρ εἶναι χρῆμα πόλει ἀνδρὸς ἀρετήν, καὶ ταύτην ἐπιζητεῖν τὰ ἐκ τῶν λογίων δηλούμενα. καὶ τοῦτο εἰπὼν τά τε ὅπλα περιέθετο καὶ τὸν πολεμικὸν ἵππον ἀνέβη. πάντων δὲ θαυμαζόντων τὸ δρώμενον, ἀτρέπτως ἐλαύνει κατὰ τοῦ χάσματος. συνελθούσης δὲ τῆς γῆς, ἡρωικὰς τιμὰς τῷ ἀνδρὶ κατὰ μέσην ἀγορὰν Ῥωμαῖοι ἀνὰ πᾶν ἔτος ἐπιτελεῖν διέγνωσαν, τόν τε τόπον Λίβερνον ἐπεκάλεσαν, βωμὸν οἰκοδομήσαντες· ἐξ οὗ δὴ καὶ Βεργίλιος τὴν ἀρχὴν ἐποιήσατο.

Λιβερτῖνοι ἔθνος.

Λιβύη χώρα.

Λιβυκὸν θηρίον οἷον ἐξηλλαγμένον· φασὶ γὰρ τὴν Λιβύην θηρία μὲν πολλὰ ἔχουσαν, ἄνυδρον δὲ οὖσαν, συνερχομένων δὲ παντοδαπῶν εἰς ἕνα τόπον, εἶτα ἀλλήλοις ἐπιβαινόντων, ἐξηλλαγμένα καὶ σύμμικτα ἀποτελεῖν ζῷα.

Λιβυκὸν ὄρνεον ἀντὶ τοῦ μέγα, ὡς ἐν Λιβύῃ πολλῶν ὀρνίθων καὶ ἐκτραπέλων ὄντων.

Λιβυρνικαὶ νῆες ἦσαν οὐ κατὰ τὸν τριηρικὸν ἐσχηματισμέναι τύπον, ἀλλὰ ληϛρικώτεραι, χαλκέμβολοί τε καὶ ἰσχυραὶ καὶ κατάφρακτοι καὶ τὸ τάχος ἄπιϛοι.

Λίβυσσα ὄρνις ἡ ϛρουθοκάμηλος· ἐν μυθικοῖς "ἀλλὰ Λίβυσσα ϛρουθὸς ἁλισκομένη πλάζει καὶ ἀμφοτέρους."

λιγαίνων ὑμνῶν, κηρύσσων.

Λίγγις ὄνομα κύριον. ἦν δὲ βίαιος. cf. v. βίαιοι.

λίγδην ⟨Hom. χ 278⟩ οὐ κατὰ βάθος, ἀλλ' ἐκ τῆς ἐπιφανείας.

λιγέως ὀξέως. καὶ λιγείως ὁμοίως.

λιγνύς ἡ ἀνάδοσις τοῦ καπνοῦ· Ἀριϛοφάνης ⟨Av. 1233⟩ "λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς καταιθαλώσει σου Λικυμνίαις βολαῖς." οὗτος ὁ Λικύμνιος ἐνεπύρισε τινῶν οἰκίας. καὶ δρᾶμά ἐϛιν Εὐριπίδου Λικύμνιος.

λιγύμοχθος. ἀηδὼν οὕτω λέγεται διὰ τὸν μόχθον καὶ τὸν θρῆνον τὸν ἡδυτάτως ἐξ αὐτῆς εἰς τὸν παῖδα γινόμενον. sch. A Av. 1381.

λιγυρώτατον λιγύκροτον.

λιγύς καὶ λιγυρός ἡδύς, ὀξύς.

Λιγυϛικὸν πέλαγος.

λιγύτερος ὀξύτερος.

λιγυφθόγγοις ἀντὶ τοῦ ἡδυφώνοις· ⟨AP 7 192⟩ "οὐκέτι δὴ πτερύγεσσι λιγυφθόγγοισιν ἀείσεις, ἀκρί, κατ' εὐκάρπους αὔλακας ἑζομένα."

λιγύφωνος ἡδύφωνος.

λιθάζω, αἰτιατικῇ, καὶ τὸ ὁπωσοῦν διά τινος εἴδους βάλλω. Ἀππιανός "κελεύσαντος δὲ Τατίου τὸν χρυσὸν ἐς τὴν παῖδα ἐλίθαζον, ἔϛε τιτρωσκομένη κατεχώσθη." cf. v. ἔϛε b.

λιθείας πολυτελείας, τὰς λιθέας λεγομένας.

λίθειος πύλη, λίθιος δὲ θῶκος.

λιθοδικτῶ, ἐκ τοῦ δίκω τὸ βάλλω.

λιθοκοπία ἡ ἐκ λίθων βολή.

λιθόλευϛος ⟨S Ai. 254⟩ λιθοβόλητος.

λιθολόγοι οἰκοδόμοι.

λιθομυλία· "ὅτι Ἄππιος Ῥωμαῖος τιμητὴς λιθομυλίᾳ τὴν Ῥωμαίων κατέϛρωσε." cf. v. Ἀππία ὁδός.

λίθον ἕψεις ⟨A Vesp. 280⟩, ἐπὶ τῶν ἀδύνατόν τι κατεργάζεσθαι πειρωμένων. οἷον ἀδυνάτῳ ἐπιχειρεῖς.

λίθος. θηλυκὸν ἡ λίθος· "οἱ δὲ Ἄβαροι χρυσόν τε καὶ ἄργυρον καὶ λίθων τὰς ἐντίμους ἀποφέρεσθαι ἠξίουν."

λίθος· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος ⟨26⟩ "τῶν τε παρόντων καθ' ἕνα ἡμῶν οὑτωσὶ πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες." ἐοίκασιν οὖν Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριϛοτέλης καὶ Φιλόχορος ὑποδηλοῦσι. Harp.

, λιθουλκῆσαι τὸ ϛῆσαι ἐπὶ τῆς βάσεως τὸ ἀνάθημα.

λιθουργικὴ καὶ λιθοτριβικὴ διαφέρει. ἡ μὲν λιθουργική, ἣν ἐν τοῖς μετάλλοις ἐργάζονται οἱ τέμνοντες τοὺς λίθους· ἡ δὲ λιθοτριβική ἐϛιν ἣν μετίασιν οἱ καταξαίνοντες καὶ κοσμοῦντες τοὺς λίθους, ὥϛ' ἀπειληφέναι τὴν εὐπρέπειαν ἕκαϛον τῶν ἔργων. Λυσίας ἐν τῷ πρὸς Ναυσίαν περὶ τοῦ τύπου "ἀλλὰ διὰ τὸ τρεῖς τέχνας ἐργάζεσθαι, τήν τε λιθουργικὴν καὶ λιθοτριβικὴν καὶ πρὸς τούτοις τὸ τετρυφηκέναι."

λιθουργός λιθογλύπτης.

λίθῳ τῷ βήματι· Ἀριϛοφάνης ⟨Ach. 683⟩ "τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέϛαμεν."

λίθων ποτίμων. μήποτε τῶν πώρων λέγει, οἵ πίνοντες τὸ ὕδωρ ἰσχυρότεροι γίνονται· ἢ τῶν τὴν σάρκα τῶν ἐντιθεμένων καταναλισκόντων σωμάτων.

λίθων χοαί ἄργυρος καὶ χρυσός. καὶ Εὐριπίδης φησί "λευκοὺς λίθȣς ἔχοντες αὐχοῦσιν μέγα."

Λικίνιος.

λικμαία· (AP 6 98) "Δηοῖ λικμαίῃ καὶ ἐναυλακοφοίτισιν ὥραις Ἡρῶναξ πενιχρῆς ἐξ ὀλιγηροσίης μοῖραν ἀλοειταί ςάχυος πάνσπερμά τε."

λικμήσονται. λικμῶ διὰ τȣ̃ κ ἐπὶ τῆς ἅλω, λιχμήσονται δὲ διὰ τοῦ χ ἀντὶ τȣ̃ λείξουσι. λικμᾶν δὲ τὸ σῖτον καθαίρειν.

λικμητήρ (Hom. N 590) ὁ τὸ πτύον κατέχων.

λικμώντων (Hom. E 500). λικμῶ τὸ κοσκινεύω, διασκορπίζω, πτυάζω.

λίκνον κόσκινον ἤτοι πτύον. οἱ δὲ διὰ διφθόγγου γράφουσιν. "ἣ δὲ ἀναςρέψασα τὸ λίκνον ἐπὶ τῶν γονάτων κείμενον ἔθει." καὶ λικνοειδής ὁ ῥυπαρός.

λικνοφόρος. τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐςιν, ὁ δὲ τȣ̃το φέρων λικνοφόρος λέγεται. Harp.

λικριφίς (Hom. Ξ 463) εἰς πλάγιον.

Λίλαια πόλις, καὶ Λίλαιον τόπος.

λιλαίομαι προθυμοῦμαι.

λιμαγχονῶ πνίγω. καὶ λιμάσσω.

λιμβρός ἡ νὺξ ἡ σκοτεινή.

Λιμένειον (Herodot. 1 18) ὄνομα τόπȣ.

λιμενήοχος ὁ τὸν λιμένα ἔχων.

λιμήν· Σοφοκλῆς (Ai. 683) "τοῖς πολλοῖσι γὰρ βροτῶν ἄπιςός ἐσθ' ἑταιρείας λιμήν," ἵν' ᾖ τῆς ἑταιρείας φιλία.

λιμηρά· "ἀπὸ Μεθώνης ἐν Ἐπιδαύρῳ τῇ λιμηρᾷ προσσχών" ἀντὶ τοῦ πενιχρᾷ.

λιμηράν λιμώττȣσαν, ἔνθεν τοι καὶ λιμηρὰν τὴν Ἐπιδαυρίαν συκοφαντȣ̃ντες ἐκάλȣν.

λιμηρῆς· ἐν ἐπιγράμματι (AP 6 47) "ἄνθεμα λιμηρῆς ἄρμενον ἐργασίης. εἶπε δέ, χαῖρε θεά, καὶ τήνδ' ἔχε."

λιμιταναῖοι. οἱ Ῥωμαίων βασιλεῖς ἐν τοῖς ἄνω χρόνοις πανταχόσε τῶν τῆς πολιτείας ἐσχατιῶν πάμπολυ κατεςήσαντο ςρατιωτῶν πλῆθος ἐπὶ φυλακῇ τῶν ὁρίων τῆς τῶν Ῥωμαίων ἀρχῆς, καὶ κατὰ τὴν ἑῴαν μάλιςα μοῖραν, ταύτῃ τὰς ἐφόδους Περσῶν τε καὶ Σαρακηνῶν ἀναςέλλοντες· οὕσπερ λιμιταναίους ἐκάλουν. τούτοις Ἰȣςινιανὸς ὅτω δὴ παρέργως καὶ φαύλως ἐχρῆτο ὥςε τεσσάρων ἢ πέντε αὐτοῖς ἐνιαυτῶν συντάξεων τοὺς χορηγοὺς ὑπερημέρους εἶναι. ἐπειδὰν δὲ Ῥωμαίοις τε καὶ Πέρσαις εἰρήνη γένοιτο, ἠναγκάζοντο οὗτοι χρόνον ῥητοῦ τὰς ὀφειλομένας συντάξεις μὴ λαμβάνοντες τῷ δημοσίῳ χαρίζεσθαι. Procop. Arc. 24.

λίμνη ἡ θάλασσα παρ' Ὁμήρῳ (ε 337), καὶ ὁ ὠκεανός, καὶ οἱ ποταμοί, ὥςε γενικὸν ὄνομά ἐςι.

λιμνήτης ἰχθῦς ὁ ἀπὸ τῆς θαλάσσης.

Λίμνος ὄνομα κύριον. σημαίνει δὲ καὶ τὴν θάλασσαν.

Λιμνώρεια.

λιμοδωριεῖς Πελοποννησίων οἱ διὰ λιμὸν μετοικήσαντες εἰς Ῥόδον καὶ Κνίδον.

λιμός· "γαςέρι μοῦνον ἔχοιμι κακῆς ἀλκτήρια λιμοῦ" (Callimachus?).

λιμὸς Μηλιαῖος, ἐπὶ τῶν χαλεπῶν. ἐν γὰρ τοῖς Πελοποννησιακοῖς κατὰ πάντων Νικίαν πέμψαντες Ἀθηναῖοι ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτοὺς ὥςε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεςήσατο, οὐ μόνον μηχανῶν προσαγωγῇ ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποςῆναι αὐτῶν πρώην ὑποτελῆ οὖσαν. ἢ ἀντὶ τοῦ μεγίςῳ. Μῆλος δὲ πόλις Θεσσαλίας, οἱ δὲ Μήλιοι πολιορκούμενοι λιμῷ ὑπὸ Ἀθηναίων ἐπείσθησαν, καὶ προδεδώκασιν ἑαυτούς (sch. A Av. 186). καὶ λιμῷ Μηλίῳ, παροιμία, ἐπεὶ Ἀθηναῖοι ἐκάκωσαν Μηλίȣς πολιορκȣ̃ντες λιμῷ, ὡς Θουκυδίδης ἐν τῇ ε'.

λιμόψωρος· "ὑπὸ δὲ τοῦ ψύχους καὶ τῆς ἀνηλειψίας καὶ τῆς ταλαιπωρίας ἐπεγεγόνει σχεδὸν ἅπασι τοῖς ἵπποις, ὁμοίως δὲ καὶ τοῖς ἀνδράσιν, ὁ λεγόμενος λιμόψωρος καὶ τοιαύτη καχεξία" (Polyb. 3 87).

λιμπάνω καταλιμπάνω.

λιμώττω λιμώσσω.

Λίνδιος ὄνομα κύριον.

λίνειος μίτος.

λίνον λίνῳ συνάπτεις, ἐπὶ τῶν τὰ ὅμοια ἐπιμιγνύντων, ἢ παρακρουομένων καὶ ἀπατώντων. Στράττις Ποταμίοις. cf. v. οὐ λίνον.

λινοπλῆγος φρενοπλῆγος. ἡ εὐθεῖα ὁ λινοπλήξ.

λινοπτωμένη λίνον ἁλιέως ψυχόμενον ἐποπτεύουσα. sch. A Pac. 1178.

a *Λίνος* Χαλκιδεύς, Ἀπόλλωνος καὶ Τερψιχόρης, οἱ δὲ Ἀμφιμάρου καὶ Οὐρανίας, οἱ δὲ Ἑρμοῦ καὶ Οὐρανίας. λέγεται δὲ πρῶτος οὗτος ἀπὸ Φοινίκης γράμματα εἰς Ἕλληνας ἀγαγεῖν, γενέσθαι δὲ καὶ Ἡρακλέους διδάσκαλος γραμμάτων, καὶ τῆς λυρικῆς μέσης πρῶτος γενέσθαι ἡγεμών. cf. v. ἐμβαλόντα.

b *Λίνος* ἕτερος, Θηβαῖος, νεώτερος.

a *λίνος* εἶδος ὕμνε· Ὅμηρος ⟨Σ 570⟩ "λίνον δ' ὑπὸ καλὸν ἄειδεν." οὐ διὰ τὸ τὰς χορδὰς ἀπὸ λίνου εἶναι, ἀλλ' εἶδος ὕμνου ᾖδον ὡς παιᾶνα. ἢ λύρας χορδή.

b *λίνος* τὸ δίκτυον. Λίνος δὲ παρὰ Θηβαίοις φιλόσοφος.

*λιούτωρ* ⟨ἀδιούτωρ?⟩ ὁ παρὰ Ῥωμαίοις βοηθός.

*λίπα* λιπαρὸν κατὰ ἀποκοπήν· Θουκυδίδης ⟨4 68⟩ "λίπα γὰρ ἀλείψεσθαι, ὅπως μὴ ἀδικῶνται," καὶ Αἰλιανός "ὁπόταν δὲ προσίωσι κινδυνεύσοντες, λίπα ἀλείφονται."

*λιπαρά* ἡ ἀφύη· Ἀριςοφάνης ⟨Ach. 639⟩ "εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας, εὗρε τὸ πᾶν ἂν ἀφύων τιμὴν περιάψας." καὶ αὖθις ⟨Av. 827⟩ "λιπαρὸν τὸ χρῆμα τῆς πόλεως," τουτέςι πλυσία.

*Λιπάρα* μία τῶν καλουμένων Αἰόλου νήσων. περὶ τὴν Σικελίαν δὲ ἡ Λιπάρα ⟨Harp.⟩. καὶ *Λιπαραῖοι*.

*λιπάρει* παρακαλεῖ. τὸ λι μακρόν· "γλίσχρος, προσαιτῶν, λιπαρῶν τ' Εὐριπίδην" ⟨A Ach. 451⟩.

*λιπαρεῖν* τὸ καθικετεύειν, παρὰ τὸ λίαν παρεῖναι. "λιπαρεῖτε μένοντες" ⟨Herodot. 9 45⟩, προσεδρεύετε μένοντες, ἢ ἐπιμελεῖσθε μένοντες.

*λιπαρεῖ χειρί* ἀντὶ τοῦ λιπαρῶς καὶ συνεχῶς. καὶ *λιπαρεῖ* πλουσίᾳ, ἀφθόνῳ. Σοφοκλῆς ⟨El. 1377⟩ "Ἄπολλον, ἥ σε πολλὰ δή, ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔςην χερί. νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω, αἰτῶ προπιτνῶ λίσσομαι, γενοῦ πρόφρων ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων, καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια."

*λιπαρές* τὸ προσεχές, ἐκ τοῦ λίαν παρεῖναι. Ἀριστοφάνης ⟨Lys. 674⟩ "εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμικρὰν λαβήν, οὐδὲν ἐλλείψουσιν αὗται λιπαρᾶς χειρουργίας," τουτέςι τόλμης. ἤγουν οὐκ ἀφέξονται προσεχοῦς ἔργου αἱ γυναῖκες.

*λιπαρής*· "πρὸς δὲ τὸ θεῖον λιπαρὴς ἦν καὶ ἔκθυμος, ὡς θαμὰ αὐτῷ προσιέναι." καὶ αὖθις "τὰ δὲ γράμματα ὑπόμνησις ἦν λιπαρὴς τῶν σπονδῶν."

*λιπαρία* ἡ προσεδρεία· "ὁ δὲ ἐτώθαζε τοῦ θεοῦ τοὺς θεραπευτῆρας, λέγων ἐκ τῆς τοσαύτης λιπαρίας πλέον ἔχειν οὐδέν" ⟨cf. v. χλευασία⟩.

*λιπαροκρήδεμνος* ⟨Hom. Σ 382⟩ ἡ πολύτιμον κρήδεμνον ἔχουσα· ⟨AP 6 61⟩ "ἡ λιπαροκρήδεμνος, ἵν' εἴπωμεν καθ' Ὅμηρον, χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε χάρις."

*λιπαρός* ἀνθηρός, παρὰ τὸ λίπος· ςίλβει γὰρ τὸ ἔλαιον. ἢ ἀντὶ τοῦ ἀληλιμμένος· Ἀριςοφάνης Πλούτῳ ⟨616⟩ "λιπαρὸς χωρῶν ἐκ βαλανείου."

*λιπαρῶς* ἐπιμόνως· "πάλιν αὐτῶν λιπαρῶς ἐγκειμένων φιλανθρώπως ὑπήκουσε."

*λιπερνῆτις* ἡ πτωχή, παρὰ τὸ λείπεσθαι ἐρνέων, ὅ ἐςι φυτῶν.

*λιπερνοῦντας* πενιχρούς.

*λίποιμι* καταλείψαιμι.

*λίπος.* δοτικὴ λίπει.

*λίπτω* τὸ ἐπιθυμῶ. καὶ *λελίφθαι* ὁμοίως. ἐξ οὗ καὶ τὸ *λελιημένος*.

*λιπῶσι* λιπαρῶσι.

*λιρός* ὁ ἀναιδής. καὶ *λιρόφθαλμος*.

*λιρότερον.*

*λίς* ὁ λέων· μῦθος "ἐς βίοτον κοινωνὸς ὄνῳ γένετ' ὠμοβόρος λίς."

*λίσπη* τῷ τόνῳ ὡς κίςη· Ἀπολλώνιος δὲ ὀξύνει ὡς ψιλή. ἡ τετριμμένη καὶ λεία. οἱ δὲ θηρίδιον λεπτὸν σφόδρα. καὶ οἱ τὰ ἰσχία λεπτοί. λίσπους καλοῦσι καὶ τοὺς ὑφ' ἡμῶν καλουμένους ςρίφους ἀςραγάλους. καὶ *λισπόπυγοι* οἱ λεῖοι τὴν πυγήν. sch. A Ran. 848.

*λίσποι* οἱ μέσοι διαπεπρισμένοι ἀςράγαλοι καὶ ἐκτετρημένοι. καὶ λίσπη γλῶσσα ὡς ἐπιτετριμμένη. λέγονται δὲ καὶ οἱ Ἀθηναῖοι ἐπιθετικῶς λίσπαι ⟨an λισπόπυγοι⟩ διὰ τὸ ναυτικοὺς ὄντας ἕνεκα τῆς ἐπὶ τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας ἀπογλούτους εἶναι. ἔνιοι διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς Ἅιδου, καὶ πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθεσθέντα σὺν τῷ Πειρίθῳ, Ἡρακλέους ἐπὶ τὸν Κέρβερον κατελθόντος, παρὰ τῆς θεοῦ τε αὐτὸν ἐξαιτησαμένου καὶ τῆς πέτρας ἀποσπῶντος, ἐγκαταλειφθῆναι τὸ προσηνωμένον αὐτῇ τῶν γλουτῶν μέρος·

διόπερ εἰς τιμὴν ἐκείνου καὶ τοὺς λοιποὺς Ἀθηναίους οὕτως ἐπονομάζεσθαι. cf. sch. A Eq. 1365.

λισσάδας πέτρας λείας καὶ ὁμαλάς· "τοῖς δὲ Σκύθαις πρὸς τὰς Ῥωμαϊκὰς ναῦς, ὥσπερ ἀνόρμους καὶ λισσάδας πέτρας, ἐξεβιάζετο τὰ σκάφη. πάντα δὲ κατεδύετο τὰ σκάφη."

λίσσεσθαι λιτανεύειν.

λισσή ἡ ὁμαλή.

λίσσομαι ἱκετεύω.

λιστραίνω τὸ σκάπτω.

λίστροισι τοῖς ξύστροις.

λίσφοι τὰ ἰσχία.

λίσχρος ⟨an γλίσχρος⟩ φειδωλός.

λῖτα καταπετάσματα· ⟨AP 6 332⟩ "ἄνθετο δοιὰ λῖτα πολυδαίδαλα, καὶ βοὸς ἄρου ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας."

λιτάζομαι παρακαλῶ, δέομαι.

λιτανεία ἡ παράκλησις.

λιτανεύει εὔχεται.

λιταργιοῦμεν συντόνως δραμούμεθα, παρὰ τὸ λίαν ἀργόν, τουτέστι ταχύ. Ἀριστοφάνης ⟨Pac. 566⟩ "εἶθ᾽ ὅπως λιταργιοῦμεν οἴκαδ᾽ εἰς τὰ χωρία."

λίταργος ὁ ἀργός.

λιτεύεσθαι παρακαλεῖσθαι.

λιτή ἡ παράκλησις.

Λιτή τῆς Μακεδονίας, ἧς Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου μνημονεύει. Harp. qui Λητή.

Λιτόεις ὄνομα κύριον.

λιτοίμην ⟨Hom. ξ 406⟩ παρακαλέσαιμι.

λιτοῖς ὀλίγοις, ψιλοῖς, εὐτελέσι· Πολύβιος ⟨8 37⟩ "μαθὼν δ᾽ ἐξ αὐτομόλου, διασαφήσαντος ὅτι ἑορτὴν ἄγουσι πάνδημον καὶ τοῖς σιτίοις λιτοῖς χρῶνται διὰ τὴν σπάνιν, τῷ δὲ οἴνῳ δαψιλεῖ, ἐπολιόρκει."

λιτός εὐτελής· ἐν ἐπιγράμματι ⟨AP 6 250⟩ "λιτὸς ἐγὼ τὰ τύχης, ὦ δεσπότι. φημὶ δὲ πολλῶν ὄλβον ὑπερκύπτειν τὸν σὸν ἀπὸ κραδίης." καὶ αὖθις ⟨AP 7 18⟩ "λιτὸς ὁ τύμβος ὀφθῆναι, μεγάλου δ᾽ ὀξέα φωτὸς ἔχει." τὸ λι μακρόν. καὶ αὖθις "οἳ δὲ ὡς ἐξεφαύλισαν τὸ ἔργον οἷα δήπου λιτόν" ⟨cf. v. ἐξεφαύλισαν⟩.

λιτότερος.

λιτότης ἡ ἁπλότης.

λίτρα ὁ σταθμός.

λιτυέρσης εἶδος ᾠδῆς· Μένανδρος Χαλκηδονίῳ "ᾄδοντα λιτυέρσην ἀπ᾽ ἀρίστου τέως." οἱ δὲ αὐλήσεως γένος. Μίδου δὲ ἦν ὁ Λιτυέρσης νόθος υἱός, κατοικῶν δὲ ἐν Κελαιναῖς τοὺς παριόντας ὑποδεχόμενος ἠνάγκαζε μετ᾽ αὐτοῦ θερίζειν, εἶτα ἀποκόπτων τὰς κεφαλὰς τὸ ἄλλο σῶμα συνείλει ἐν τοῖς δράγμασιν. ἀπέθανε δὲ ὑπὸ Ἡρακλέους. εἰς τιμὴν δὲ τοῦ Μίδου θεριστικὸς ὕμνος ἐπ᾽ αὐτῷ συνετέθη. cf. sch. Theocrit. 10 41.

λιφαιμεῖ αἱμορροεῖ, λείπει τῷ αἵματι. Ἀππιανός ⟨t. 1 p. 83⟩ "ὁ δὲ Κελτὸς ἀγανακτῶν καὶ λιφαιμῶν ἐδίωκε τὸν Βαλέριον, συγκαταπεσεῖν ἐπειγόμενος· ὑπὸ δὲ τὰς πόδας ἀναχωροῦντος ἀεὶ τοῦ Βαλερίου κατέπεσε πρηνὴς ὁ Κελτός. καὶ δεύτερον τοῦτο μονομάχιον ἐπὶ Κελτοῖς ἐμεγαλαύχουν οἱ Ῥωμαῖοι."

λιφερνῶν.

λιχανός ὁ μετὰ τὸν ἀντίχειρα δάκτυλος, διὰ τοῦ ι. λείχω λιχανός, οἰκτείρω οἰκτιρμός, σείω σῖτος.

λιχνεία πύκνωσις.

λιχνεύουσα λίχνως ζητοῦσα.

λίχνος προαπτόμενος τῶν ὄψων, κατεπιθυμῶν, λιμβός, λαίμαργος. Αἰλιανός "ἀνὴρ λίχνον ὄμμα καὶ ἀσελγὲς πιαίνων κακῇ ἐσιάσει, τὰ τῆς Φερεφάττης ὄργια ἐδίψησε θεάσασθαι ἀτέλεστος ὤν" ⟨cf. v. Θεσμοφόρος⟩.

λοβός τὸ ἄκρον τοῦ ὠτίου καὶ τοῦ ἥπατος, καὶ τὰ ἄκρα πάντα, κυρίως δὲ τῶν ὤτων τὸ κάτω. καὶ τὸ ἀγγεῖον ἐρεβίνθου ἢ κυάμου. καὶ ἐν θυτικῇ σημεῖόν τι ἐν τῷ ἥπατι. ἔνθεν λώβη ἡ διὰ τῶν ὤτων τιμωρία, διὰ τοῦ ω μεγάλου, καὶ λωβός ὁ βεβλαμμένος.

λογάδες οἱ ὀφθαλμοί· ἐν ἐπιγράμμασι ⟨AP 5 270⟩ "Ἰνδῴη δ᾽ ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης, ἀλλὰ τεῶν λογάδων πουλύ γ᾽ ἀφαυροτέρην."

λογάδην ἐπιλέκτως· Θουκυδίδης δ᾽ ⟨4⟩ "σιδήρια λιθουργικὰ οὐκ ἔχοντες, λογάδην φέροντες τοὺς λίθους ξυνετίθεσαν, ὡς ἕκαστόν τι ξυμβαίνοι." καὶ λογάδες λίθοι· "ἐκ λογάδων λίθων ἐκτισμένος," τουτέστι τῶν εὐτελῶν καὶ μικρῶν.

λογάνιον.

λογάρια οἱ λόγοι· Ἀριστοφάνης. "οὐ φανοῦμαι δὲ στρογγύλλων λογάρια" ⟨Synes. p. 66⟩, προοίμιά τινα καὶ προνόμια. cf. v. Δώριος αὔλησις.

Λογγῖνος ὁ Κάσσιος, φιλόσοφος, δι- a

διδάσκαλος Πορφυρίου τοῦ φιλοσόφου, πολυμαθὴς καὶ κριτικὸς γενόμενος. ἦν δὲ ἐπὶ Αὐρηλιανοῦ τοῦ Καίσαρος, καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ ὡς σύμπνους Ζηνοβίᾳ τῇ Ὀδηνάθου γυναικί. ἔγραψε περὶ τοῦ κατὰ Φειδίαν, ἀπορήματα Ὁμηρικά, εἰ φιλόσοφος Ὅμηρος, προβλήματα Ὁμήρου καὶ λύσεις ἐν βιβλίοις β', τίνα παρὰ τὰς ἱςορίας οἱ γραμματικοὶ ὡς ἱςορικὰ ἐξηγοῦνται, περὶ τῶν παρ' Ὁμήρῳ πολλὰ σημαινουσῶν λέξεων δ', Ἀττικῶν λέξεων ἐκδόσεις β' (εἰσὶ δὲ κατὰ ςοιχεῖον), λέξεις Ἀντιμάχου καὶ Ἡρακλέωνος, καὶ ἄλλα πολλά.

b *Λογγῖνος.* οὗτος ὁ Λογγῖνος καὶ Κόνων ἀδελφοὶ Ζήνωνος τοῦ βασιλέως, οἳ παραδυναςεύοντες ἀθέσμως οἷον ἐν πάσαις ταῖς πόλεσιν ἐπὶ κτήμασιν ἀλλοτρίοις ὅρους ἐτίθεσαν, καὶ τοῖς γε τὰ ἔσχατα πλημμελοῦσιν ἔνεμον τὰς βοηθείας ἐπὶ μισθῷ. Λογγῖνος δὲ καὶ πάσης ἀκρασίας ἦν πλήρης, ἀεὶ μὲν μεθύουσι συνδιάγων ἀνθρώποις, ἀεὶ δὲ πορνοβοσκοὺς ἔνδον ἔχων ἀφθόνους, οἳ γυναῖκας μὲν αὐτῷ τὰς τῶν πρώτων ἀρχόντων ἐπηγγέλλοντο ἄξειν· οἳ δὲ πόρνας ἄγοντες ἀπὸ κόσμου θαυμαςοῦ καὶ δίφρων ἐπισήμων ἐξηπάτων ὡς δῆθεν αὐτὰς ἐκείνας κομίσαντες. οὗτος δὲ ὁ Λογγῖνος καὶ σύςημ' ἀσκητριῶν ἔλυσε τρόπῳ τοιῷδε. ἐπὶ δείπνῳ ἐνδιαιτώμενος ταῖς κληζομέναις Πηγαῖς, ἠγγέλθη τούτῳ παρὰ τῶν προαγωγευόντων ὡς ἐκπρεπεῖς λίαν εἰσὶν αἱ γυναῖκες. καὶ ἔπεμψεν αὐταῖς ὄσπρια καὶ ξηροὺς ἄρτους, εἶτα χιτῶνας ἄλλα τέ τινα, ὡς προνοῶν αὐτῶν δῆθεν ἐξ ἐπιςροφῆς τῶν φόβων· δεινοὶ γὰρ οἱ γυναικοϊέρακες εὐπρεπεῖς αἰτίας ἐφευρίσκειν εἰς ἄγραν τῶν θηλειῶν. καὶ ἀνιὼν ἐν τῷ σεμνείῳ πολλὰς τούτων πειθανάγκῃ κατήγαγεν. οὕτω γὰρ ἦν λάγνος ὡς καὶ ἐλευθέραις καὶ ἀρχόντων γυναιξὶ καὶ παρθένοις ἀωρίᾳ ἐπιπίπτειν καὶ πάντα δρᾶν ἀνέδην. ἐν προόδῳ δὲ σφαίρας ἀργυρᾶς καὶ περικάρπια ἐρρίπτει. καὶ ἄλλων δὲ πολλῶν κακῶν αἴτιος ἐγεγόνει ὁ Λογγῖνος οὗτος. **Malchus?**

*λογγῶνος* τοῦ λιθοκλιμένος.

*λογεῖον* τὸ μαντεῖον ὅπερ ἐφόρει ὁ ἱερεύς, ἐν ᾧ ἦσαν ἐγκεκολαμμένοι οἱ ιβ' λίθοι. καὶ λογεῖον τὸ δικαςήριον.

*λόγια* τὰ παρὰ θεοῦ λεγόμενα καταλογάδην, χρησμοὶ δὲ οἵτινες ἐμμέτρως λέγονται, θεοφορουμένων τῶν λεγόντων. **sch. Thuc. 2 8.**

*λογίαι* ⟨**1 Cor. 16 1**⟩ ἐκλογαί, καρποφορίαι. καὶ *λόγιον* ἡ ὑπόσχεσις ἡ θεία, καὶ ἡ θεόπνευςος γραφή, ἢ καὶ *λόγος*· Δαβὶδ ⟨**Ps. 129 5**⟩ "ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου." *λόγιος* δὲ ὁ φρόνιμος.

*λογίζω* σκέπτομαι. καὶ *λογίσομαι* ἀναψηφίσομαι, ἀναριθμήσω. καὶ *λογιοῦμαι* ἀπαριθμήσω, ψηφίσω. καὶ *λογιῶ* τὸ νομίζω, ὡς τὸ "ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην" ⟨**Rom. 4 3**⟩.

*λόγισαι* σκέψαι.

*λογισμός* ἡ λογιςικὴ τέχνη, ὡς Ἰσοκρά- a
της Βουσίριδι ⟨**23**⟩. "ὅτι συμπάσχουσιν ἀλλήλοις ὅ τε λογισμὸς καὶ τὸ σῶμα· ὁ γὰρ λογισμὸς ἀτονώτερος γίνεται τοῦ σώματος πάσχοντος."

*λογισμός* ἡ ἔκτισις· "οὐδενὶ κόσμῳ ἐλη- b
ίσατο, λογισμοὺς δῆθεν τῶν βεβιωμένων πραττόμενος." ἢ ἡ ἐξέτασις λέγεται λογισμός· "ὁ δὲ πλοῦς λογισμῷ τῷ πρόσω δυοῖν μηνοῖν ξυμβήσεσθαι εἰκασθείς" ἀντὶ τοῦ ἀπαριθμήσει. λογισμὸς καὶ ἡ ἀπαρίθμησις· "ὃ δὲ λογισμὸν τοῦ πλήθους ἐποιήσατο."

*λογιςαί* οἱ μεθοδικοὶ καὶ περίψηφοι.

*λογιςαὶ καὶ λογιςήρια.* ἀρχή τις παρ' Ἀθηναίοις οἱ λογιςαί. εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀπόθωνται οἱ ἄρχοντες. λογιςήρια δέ ἐςι τὰ τῶν λογιςῶν ἀρχεῖα, ὡς Δείναρχος καὶ Ἀνδοκίδης δηλοῦσι. **Harp.**

*λογιςεῦσαι* ἀπαριθμήσασθαι, ἀναμετρῆσαι· "οὐ δυνάμενος ἢ οὐ βουλόμενος λογιςεῦσαι τὰ πεπραγμένα καὶ μισῆσαι τὰ κακῶς πραχθέντα."

*λογιςής* κριτής, δοκιμαςής, ἐξεταςής.

*λογογράφος* ὁ δίκας ἢ τοὺς δικανικοὺς λόγους γράφων.

*λόγοισιν Ἑρμόδωρος ἐμπορεύεται.* ὁ Ἑρμόδωρος ἀκροατὴς γενόμενος Πλάτωνι, τοὺς ὑπ' αὐτοῦ συντεθειμένους λόγους κομίζων εἰς Σικελίαν ἐπώλει.

*λόγον ἔχειν* ἀντὶ τοῦ φροντίζειν Θεόπομπος Φιλιππικῶν α'. καὶ Εὐριπίδης ⟨**immo S El. 468**⟩ "τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν," τουτέςιν οὐκ ἔχει πρόφασιν τὸ φιλονεικεῖν.

*λογοποιός* ὁ ὑφ' ἡμῶν ἱςορικὸς λεγόμενος. Ἰσοκράτης ⟨**11 37**⟩ καὶ Ἡρόδοτος ⟨**2 143**⟩.

**λογοποιῶν** πλάττων λόγους ψευδεῖς.

a **λόγος.** λόγος ἐστὶ φωνὴ σημαντικὴ ἀπὸ διανοίας ἐκπεμπομένη. λόγος δὲ σημαίνει ϛ΄. διαφέρει δὲ λέξις καὶ λόγος· λέξις μὲν γὰρ ἄσημος γίνεται, ὡς τὸ βλίτυρι, λόγος δὲ οὐδαμῶς. διαφέρει δὲ καὶ τὸ λέγειν τοῦ προφέρεσθαι· προφέρονται μὲν γὰρ αἱ φωναί, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει (Diog. L. 7 56). ἀρεταὶ δὲ τοῦ λόγου ε΄, ἑλληνισμὸς σαφήνεια συντομία πρέπον κατασκευή (id. 59).

b **λόγος** καὶ ἡ ὑπόθεσις· Ἀριστοφάνης (Pac. 148) "Εὐριπίδῃ λόγον παράσχῃς καὶ τραγῳδία γένῃ."

**λογότροπος** παρὰ φιλοσόφοις τὸ ἐξ ἀμφοτέρων σύνθετον, οἷον "εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον." παρεισήχθη δὲ ὁ λογότροπος ὑπὲρ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν σύλληψιν μακρὰν οὖσαν καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, τὸ δὲ πρῶτον, τὸ ἄρα δεύτερον (Diog. L. 7 77).

**λόγου τυχεῖν** ἀντὶ τοῦ ἐπαίνου Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (13). Harp.

**λογχάσθην** εἶδος ὅπλου (cf. v. ἐφαπτίδας). καὶ **λογχαῖος** μετὰ τῆς λόγχης.

**λόγχη.** ἕκαστον σύστημα ἑνικῶς λέγουσιν, ὡς εἴ τις ἐπὶ πολλῶν ἵππων εἴποι τὴν ἵππον. λόγχη ἓν σιδήρεον ἀκόντιον. sch. S OC 1311.

**λογχωτόν·** ἐν ἐπιγράμμασι (AP 6 172) "καὶ τὸ δίθυρσον τοῦτο τὸ λογχωτὸν καὶ τὸ περισφύριον."

**λοεσσάμενος** (Hom. Φ 560) λουσάμενος.

**λοιβεῖον** τὸ θῦμα, ἐκ τοῦ λείβω.

**λοιβή** σπονδή, θυσία.

**λοίγια** (Hom. A 518) ὀλέθρια, καὶ **λοίγιος** ὁ ὀλέθριος.

**λοιγόν** φθοράν, ὄλεθρον. καὶ **λοιγός** ὄλεθρος.

**Λοιδίας** ποταμὸς Μακεδονίας. Αἰσχίνης μέμνηται (2 124). Harp.

**λοιδορεῖσθαι** τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονον, ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται" (A Eq. 1279). τουτέστι, τὸ τοὺς πονηροὺς λοιδορεῖσθαι τιμὴ γίνεται τῶν ἀγαθῶν.

**λοιδορησμός** ἡ λοιδορία.

**λοιδορία.** καὶ **λοιδορῶ** δοτικῇ. τὰ δὲ παθητικὰ αἰτιατικῇ.

**λοιμεύεται** φθοροποιεῖ, βλάπτει. καὶ **λοιμός** ἡ φθοροποιὸς νόσος. δυσκρασία ἀέρος καὶ τροπὴ **λοιμικὴ κατάστασις** λέγεται.

**λοιμοί** οἱ μὴ μόνον σφᾶς αὐτοὺς λυμαινόμενοι, ἀλλὰ καὶ ἑτέροις τῆς λύμης μεταδιδόντες. Theodoret. in Ps. 1 1.

**λοιμός** ὁ φθορεύς.

**λοιμώδης** ὁ ὀλέθρου παραίτιος.

**λοιπάς.** καὶ **λοιπαδάριον.**

**λοιπόν** ἐπίρρημα.

**λοίσθιον** τὸ ἔσχατον, καὶ **λοίσθιος ἡμέρα** ἐσχάτη.

**λοῖσθος** ὁ ἔσχατος, καὶ **λοίσθῳ** ἐσχάτῳ· (AP 7 19) "εἶθ' ὅγε λοῖσθος ἄχθος ἀπορρίψας οἴχεται εἰς ἀίδαν." περὶ Ἀλκμᾶνος ὁ λόγος.

**λοισθώνη** (an λαίσθων) ἡ θρασεῖα.

**Λοκρὸς** ὁ Αἴας, οὐχὶ ὁ Σαλαμίνιος.

**Λοκρῷ ξυνθήματι,** παροιμία. τάττεται ἐπὶ τῶν παρακρουομένων.

**Λόλλαι,** τῶν **Λολλῶν,** ὄνομα τόπου.

**Λολλιανός** Ἐφέσιος σοφιστής, μαθητὴς Ἰσαίου τοῦ Ἀσσυρίου, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ἔγραψε πολλά.

**λοξά** σκολιά, καμπύλα, οὐκ ἐξ εὐθείας γινόμενα. ἐν ἐπιγράμματι (AP 7 531) "δερκομένη λοξαῖς οἷα Λάκαινα κόραις." "σιγᾶν δὲ χρή, μὴ λοξοῖς ἡμᾶς ὄμμασιν ἰδὼν ὁ φθόνος τραχεῖ βάλῃ λίθῳ, κατὰ Πίνδαρον" (Ol. 8 73).

**λοξὴ φάλαγξ** ἡ τὸ μὲν ἕτερον κέρας, ὁπότερον ἂν προῄρηται, πλησίον τῶν πολεμίων ἔχουσα καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη, τὸ δὲ ἕτερον ἐν ἀποστάσει δι' ὑποστολῆς ἔχουσα· δεξιὰ μὲν ἡ τὸ δεξιὸν προβεβλημένη, λαιὰ δὲ ἡ τὸ λαιόν (Aelian. Tact. 30).

**Λοξίας** ὁ Ἀπόλλων ὁ λοξὴν ἴαν ἀποπέμπων· λοξῶς γὰρ ἐμαντεύετο· "Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει." ἢ ὁ λοξὴν πορείαν ποιούμενος· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ (sch. A Plut. 8).

**λοπάς** παρὰ Συρακουσίοις τὸ τήγανον, a
παρὰ δὲ Θεοπόμπῳ ἡ σορὸς καὶ παρὰ τοῖς κωμικοῖς. καλεῖται δὲ οὕτω καὶ ὁ ἐν τῇ Ἑλλάδι γινόμενος λίθος. Ἀριστοφάνης (Vesp. 528) "ἐγὼ μὲν οὐδ' ἂν ὀρνίθων γάλα ἀντὶ τοῦ βίου λάβοιμ' ἂν οὗ με νῦν ἀποστερεῖς. οὐδὲ χαίρω βατίσιν οὐδ' ἐγχέλυσιν, ἀλλ' ἥδιον ἂν δικίδιον σμικρὸν φάγοιμ' ἂν ἐν λοπάδι πεπνιγμένον."

b λοπάς ἡ χύτρα.

λοπᾶσι κλέπταις.

λόπος ἡ περικειμένη ἔξωθεν τοῦ κρομμύου λεπίς. καὶ πᾶν λέπος, φλοιός, δέρμα λεπτὸν ξηρόν.

λορδόν τὸ ὑπόκυρτον. καὶ λορδότατον τὸ ἀποσεσιμωμένον καὶ ἐναντίον τῷ κυρτῷ· ὃ καὶ κυφὸν καλεῖται.

λορδός ἀπεξυλωμένος, συγκεκαμμένος τὸ σῶμα.

λορδουμένη. φησὶ Προκόπιος (Arc. 9?) περὶ Θεοδώρας τῆς Ἰυϛινιανȣ͂ γαμετῆς "ἀποδυσαμένη ξὺν τοῖς μίμοις ἐν μέσῳ εἰϛήκει, λορδουμένη τε καὶ τὰ ὀπίσω ἀποκοντῶσα," οἷον κεκαμμένη.

λορδουμένων κινουμένων, ἐπειδὴ οἱ συνουσιάζοντες κινοῦνται· Ἀριϛοφάνης (Eccl. 10) "λορδουμένων τε σωμάτων ἐπιϛάτην."

a *Λουκιανός* Σαμοσατεύς, ὁ ἐπικληθεὶς βλάσφημος ἢ δύσφημος, ὅτι ἐν τοῖς διαλόγοις αὐτοῦ γελοῖα εἶναι καὶ τὰ περὶ τῶν θείων εἰρημένα παρατίθεται. γέγονε δὲ ἐπὶ τοῦ Καίσαρος Τραϊανοῦ καὶ ἐπέκεινα. ἦν δὲ οὗτος τὸ πρὶν δικηγόρος ἐν Ἀντιοχείᾳ τῆς Συρίας, δυσπραγήσας δ' ἐν τούτῳ ἐπὶ τὸ λογογραφεῖν ἐτράπη, καὶ γέγραπται αὐτῷ ἄπειρα. τελευτῆσαι δὲ αὐτὸν λόγος ὑπὸ κυνῶν, ἐπεὶ κατὰ τῆς ἀληθείας ἐλύττησεν· εἰς γὰρ τὸν Περεγρίνου βίον καθάπτεται τοῦ χριϛιανισμȣ͂ καὶ αὐτὸν βλασφημεῖ τὸν Χριϛὸν ὁ παμμίαρος. διὸ καὶ τῆς λύττης ποινὰς ἀρκούσας ἐν τῷ παρόντι δέδωκεν, ἐν δὲ τῷ μέλλοντι κληρονόμος τοῦ αἰωνίου πυρὸς μετὰ τοῦ Σατανᾶ γενήσεται.

b *Λουκιανὸς* ἕτερος, κόμης τῆς ἑῴας, ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως. αὕτη δὲ ἡ ἀρχὴ ἐβούλετο τὸν προβεβλημένον αὐτῆς ἐφεϛάναι πᾶσι τοῖς τὰς τῆς ἑῴας ἐπαρχίας ἰθύνουσι, καὶ ἐπὶ τοῖς οὐ κατὰ τὸ δέον πραττομένοις ἰθύνειν. οὗτος τοίνυν πᾶσαν ἀρχικὴν ἀρετὴν εἰς τοὺς ἀρχομένους ἐπιδεικνύμενος, ἐπὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ πᾶσι τοῖς ἄρχοντας κοσμεῖν δυναμένοις διαβόητος ἦν, οὔτε προσώπων διαφορὰν οὔτε ἕτερόν τι κατὰ νοῦν ἔχων, πλὴν ὧν ὁ νόμος ὑπηγόρευεν. ὥϛε ἀμέλει καὶ τὸν τȣ͂ βασιλέως θεῖον Εὐχέριον αἰτȣ͂ντά τι παρὰ τὸ προσῆκον ἀποσεισάμενος ἐς τοσοῦτον ἐκίνησεν ὥϛε πρὸς τὸν βασιλέα διαβαλεῖν. ἐπεὶ δὲ ὁ βασιλεὺς αἴτιον εἶπεν εἶναι Ῥουφῖνον, ἀνδρὶ τοιούτῳ τοσαύτην ἀρχὴν δεδωκότα, λαβὼν πρόφασιν ὁ Ῥουφῖνος τὸν Λουκιανὸν σφαίραις μολυβδίναις ᾐκίσατο κατὰ τοῦ τένοντος. Zosim. 5 2.

*Λουκιανὸς* ὁ μάρτυς. οὗτος ἐκ Σαμο- c
σάτων τῆς Συρίας ἦν, ἀνὴρ τῶν εὖ γεγονότων. παρὰ δὲ τὴν πρώτην ἡλικίαν Μακαρίῳ τινὶ τοὔνομα συγγενόμενος, τὸν Ἔδεσσαν οἰκοῦντι καὶ τὰς ἱερὰς βίβλους ἐξηγουμένῳ, πᾶν ὅ τι κάλλιϛον ἐφεῦρε περὶ τοῦτον, ἐκεῖνος ἐν οὐ πολλῷ συνείλαβε χρόνῳ. καὶ πρός τε τὸν μοναύλιον ἀπέκλινε βίον, καὶ εἰς ἅπαν ἀρετῆς ἀνθρωπείας ἀφίκετο μέτρον. προύβη δὲ καὶ εἰς ἱερωσύνην, πρεσβύτερος ἐν Ἀντιοχείᾳ γενόμενος, καὶ διδασκαλεῖον μέγα ἐκεῖ συνεϛήσατο, ἑκαϛαχόθεν σπουδαιοτάτων ὡς αὐτὸν ἀλλαχόθεν ἄλλων ἀφικνουμένων. οὗτος τὰς ἱερὰς βίβλους θεασάμενος πολὺ τὸ νόθον εἰσδεξαμένας, τοῦ τε χρόνου λυμηναμένου πολλὰ τῶν ἐν αὐταῖς καὶ τῆς συνεχȣ͂ς ἀφ' ἑτέρων εἰς ἕτερα μεταθέσεως, καὶ μέντοι καὶ τινῶν ἀνθρώπων πονηροτάτων, οἳ τοῦ ἑλληνισμοῦ προειϛήκεσαν, παρατρέψαι τὸν ἐν αὐταῖς θελησάντων νȣ͂ν καὶ πολὺ τὸ κίβδηλον ἐνσκευασαμένων, αὐτὸς ἁπάσας ἀναλαβὼν ἐκ τῆς Ἑβραΐδος αὐτὰς ἐπανενεώσατο γλώττης, ἣν καὶ αὐτὴν ἠκριβωκὼς ἐς τὰ μάλιϛα ἦν, πόνον τῇ ἐπανορθώσει πλεῖϛον εἰσενεγκάμενος. οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν καθαρότητα τῶν θείων δογμάτων παρὰ τȣ́τῳ τις ἂν μάλιϛα τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων ἐπ' ἄκρον εὕροι φυλαττομένην· ἐξέθετο γὰρ καὶ ἐπιϛολὰς ἀμέλει γενναιοτάτας, ἐξ ὧν φωράσαι τις ἂν εὖ μάλα ῥᾳδίως ἣν ὁ ἀνὴρ περὶ τῶν θείων ἔσωζε γνώμην. ἐμαρτύρησε δὲ ἐπὶ Μαξιμιανοῦ ἐν Νικομηδείᾳ τῆς Βιθυνίας. Logotheta.

*Λούκιος Σέργιος Κατιλῖνος*, ἀνὴρ γένους μὲν ὢν ἐπιφανεϛάτου, ἄλλως δὲ πονηρὸς τὴν φύσιν, τολμητής τε καὶ μεγαλοπράγμων καὶ τὸ ἦθος ποικίλος, ἐπ' ὀλέθρῳ τῆς πατρίδος συνώμοσε, τοὺς θρασυτάτους καὶ τολμηροτάτους τῶν εὐπατριδῶν εἰς τὴν ἑαυτοῦ πίϛιν ἐνδησάμενος. λέγεται γὰρ ἄνθρωπον καταθύσας γεῦσαι τοῦ αἵματος τȣ̀ς συνωμότας, περιάγων ἐς πάντας τὴν κύλικα πλήρη οἴνȣ τε καὶ ἀνθρωπείȣ αἵματος, εἴτε καταγοητεύων τοὺς ἄνδρας τῷ τοιῷδε ὅρκῳ, εἴτε καὶ πρὸς πᾶν τόλμημα καὶ πᾶσαν ἐθίζων ἀνοσιουργίαν, ἅτε οἰκείῳ καὶ πολιτικῷ

ἐπιχειρῶν αἵματι, καὶ μετάγειν τὴν πολιτείαν εἰς τυραννίδα φόνῳ τε πολλῷ τῶν ἀρίστων καὶ καταπρήσει τῆς πόλεως μηχανώμενος. ἐπῆρε δὲ ἄρα τὸν Κατιλῖνον εἰς ταύτας τὰς ἀτόπους ἐννοίας βάρη τε ὀφλημάτων νικῶντα τὸ τίμημα τῆς οὐσίας, καὶ συνειδὸς ἐκθέσμων καὶ μυσαρῶν πράξεων· τόν τε γὰρ παῖδα τῆς Ὀρεστίλλης διέφθειρε. δι' ἃ δὴ καὶ ὑπατείαν μετιὼν ἀπηλάθη, Κικέρωνος ἐς τὴν τοῦδε χώραν αἱρεθέντος. ἐξ οὗ δὴ καὶ μάλιστα τὰ ἀτοπώτατα τῶν δραμάτων ἐπὶ νοῦν ἐβάλετο, τῶν κακῶν οὐδαμοῦ ἱστάμενος, οὐδὲ ἀναπαύων τὴν γνώμην. ὁ δὲ Κικέρων εἰπεῖν τε δεινὸς ὢν καὶ τἀληθὲς ἀνευρεῖν ἱκανὸς γνῶναί τε τὸ μέλλον ὀξύτατος, πολέμιον αὐτὸν ἀποφήνας ἐξήλασε τῆς πόλεως. Io. Antioch. p. 797.

*Λουκούλλειον* τὸ τοῦ Λουκούλλου.

*Λούκουλλος.* ὅτι Λούκουλλος ὁ ὕπατος Μιθριδάτῃ τῷ τοῦ Πόντου βασιλεῖ ἐπολέμει· καὶ προσσχὼν τῇ Τρῳάδι, καὶ σκηνῶν παρὰ τὸ τῆς Ἀφροδίτης τέμενος, ἔδοξε τὴν Ἀφροδίτην νύκτωρ ἐπιστᾶσάν οἱ τόδε εἰπεῖν "τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς." καὶ ὃς ἐξαναστὰς καὶ πυθόμενος ὡς εἴη ἐγγὺς ναυλοχῶν ὁ βασιλικὸς στόλος, ἐπέπλευσεν αὐτῷ, καὶ κρατήσας τῇ ναυμαχίᾳ διαφθείρει πάντας καὶ τὸν στρατηγὸν Ἰσίδωρον. ὁ δὲ Μιθριδάτης φεύγει πρὸς Τιγράνην τὸν τῶν Ἀρμενίων βασιλέα. ὁ δὲ Λούκουλλος καὶ πρὸς Τιγράνην ἐξενεγκὼν πόλεμον πόλεις τε εἷλε πλείστας ὅσας καὶ τὰ Τιγρανόκερτα ἐπολιόρκει. ὁ δὲ Τιγράνης ἀπιδὼν ἐς τὸ τῶν Ῥωμαίων καὶ λογισάμενος εὐαρίθμητον εἶναι, τοῦτο δὴ τὸ θρυλούμενον ἀπεφθέγξατο, ὡς εἰ μὲν πρεσβευταί, πολλοὶ πάρεισιν, εἰ δὲ στρατιῶται, ὀλίγοι. ἀλλ' ὅμως εἰς πεῖραν ἐλθὼν τῶν Ῥωμαϊκῶν δυνάμεων ἔγνω τὸν ὄχλον οὐδὲν ὠφελεῖν δυνάμενον. Ἀντίοχος γοῦν ὁ φιλόσοφος ταύτης ἐπιμνησθεὶς τῆς μάχης οὐκ ἔφη τοιαύτην ἄλλην ἑωρακέναι τὸν ἥλιον· Στράβων τε οὕτως ἀκονιτί φησι τὸν πολὺν ἐκεῖνον ἐργάσασθαι τοὺς Ῥωμαίους φόνον ὡς μετὰ τὴν πεῖραν καταγελᾶν ἑαυτῶν ἐπ' ἀνδράποδα τοιαῦτα ὅπλοις χρησαμένων. καὶ Λίβιος τήνδε τὴν μάχην ἐκπληττόμενος, οὐδέποτέ φησι τοσῷδε πολεμίων ἀποδέοντας Ῥωμαίους παρατάξασθαι· εἰκοστὸν γὰρ δὴ μέρος οἱ νικῶντες ἦσαν τῶν ἡττωμένων. cf. Plutarch. Lucull.

*Λουκρήτιος* ὄνομα κύριον.

*Λούπερκος* Βηρύτιος γραμματικός, γεγονὼς μικρῷ πρὸ τῶν Κλαυδίου τοῦ δευτέρου Καίσαρος χρόνων, ἔγραψε περὶ τοῦ ἄν γ', περὶ τοῦ ταώς, περὶ τῆς καρίδος, περὶ τοῦ παρὰ Πλάτωνι ἀλεκτρυόνος, κτίσιν τοῦ ἐν Αἰγύπτῳ Ἀρσινοήτου, Ἀττικὰς λέξεις, τέχνην γραμματικήν, περὶ γενῶν ἀρρενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων βιβλία ιγ', ἐν οἷς πολλὰ κατευδοκιμεῖ Ἡρωδιανοῦ.

*Λουσιεύς.* Λουσιὰ δῆμος τῆς Οἰνηίδος, ἀφ' οὗ οἱ δημόται Λουσιεῖς. Harp.

*λουτρά·* "οἳ δὲ εἰς πόλιν παρελθόντες λουτρὰ ἔχουσαν τὰ μὲν χειρόκμητα καὶ τετεχνασμένα, τὰ δὲ ἐκ τῶν κόλπων τῆς γῆς ἀναβρύοντα καὶ ὑπερχεόμενα μεθ' ἡδονῆς πρὸς ἀνθρώπων ὠφέλειάν τε καὶ τρυφήν, τοῖς φαινομένοις παραδοὺς ἑαυτὸν κατὰ ῥοῦν φέρεσθαι δοῦλος ἐγένετο τῆς ἡδονῆς."

*λοῦτρον* τὸ ἀπόλουμα τὸ ῥυπαρόν, ἢ τὸ ἀπόλουτρον· (A Eq. 1398) "κἀκ τῶν βαλανείων πίεται τὸ λοῦτρον." Προκόπιος (Pers. 1 13) "τὸ βαλανεῖον ἐν παρασκευῇ ἐκέλευε γενέσθαι· λοῦσθαι γάρ οἱ ἐνταῦθα τῇ ὑστεραίᾳ βουλομένῳ εἶναι."

*λουτροφόρος καὶ λουτροφορεῖν.* ἔθος ἦν τοῖς γαμοῦσιν Ἀθήνησι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν γάμου ἡμέραν. ἔπεμπον δὲ ἐπὶ ταῦτα τὸν ἐγγυτάτω γένους παῖδα ἄρρενα, καὶ οὗτοι ἐλουτροφόρουν. ἔθος δὲ ἦν καὶ τοῖς ἀγάμοις ἀποθανοῦσι λουτροφόρον ἐπὶ τὸ μνῆμα ἐφίστασθαι· τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. τὰ δὲ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης, πρότερον δὲ Καλλιρρόης. Harp.

*λοφάδια* (Hom. κ 169) κατὰ τοῦ αὐχένος.

*λοφεῖον* ἡ τοῦ κατόπτρου θήκη· ἢ ἡ a
θήκη τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. Ἀριστοφάνης Νεφέλαις (748) "καθέλοιμι νύκτωρ τὴν σελήνην, εἶτα δὴ αὐτὴν καθείρξαιμ' εἰς λοφεῖον στρογγύλον." ἐὰν μὲν ᾖ ὑποκοριστικόν, δηλοῖ τὸν ἐλάττονα τῶν τριῶν λόφων, ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην τοῦ λόφου. sch. A Av. 1108.

*λοφεῖον,* λόφιον δέ. b

*λοφίας* ὁ τράχηλος.

*λοφιή.*

*λοφνίσι* ταῖς λαμπάσι.

*λοφοπωλεῖν* ἐπινεύειν· οἱ γὰρ τοὺς λό-

φους πωλοῦντες, ἐπὶ τὴν κεφαλὴν ἐπιτιθέμενοι, συνεχῶς ἔνευον, ἵνα παραδείξωσιν ὑγιεῖς τὰς τρίχας καὶ ἀβρώτας τοῖς ὠνηταῖς.

a λόφος γῆς ἀνάςημα, ἢ περικεφαλαία. ⟨Babr. 88 3⟩ "καὶ παῖδας εἶχε ληίῳ κόμῃ θρέψας, λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίας." περὶ κορυδαλοῦ φησί.

b λόφος τράχηλος, καὶ τὸ τῆς περικεφαλαίας ἄκρον.

*Λόφωνος.*

λοχαγοῖς ςρατηγοῖς, ταξιάρχαις.

λοχαῖοι δίφροι, οἷς πρὸς τὸ τεκεῖν ὀψὲ χρῶνται αἱ γυναῖκες. Artemid. 5.

λοχεία ἐπὶ γυναικός. λοχία δέ, διὰ τοῦ ι, ἐπὶ τῆς ἐνέδρας.

λοχεύει ἐνεδρεύει.

λοχεύονται γεννῶσι.

λόχησις ἡ ἐνέδρα, ἐκ τοῦ λοχῶ τὸ ἐνεδρεύω.

λοχίτης ὁ ἐνεδρεύων.

λοχμαία μοῦσα ἡ τῶν ὀρνίθων· ἐγκεκρυμμένοι γὰρ ἐν ταῖς λόχμαις εἰώθασι φωνεῖν. sch. A Av. 738.

λόχμας συμφύτους τόπους. Ἀριςοφάνης ⟨Eccl. 61⟩ "ἔχω τὰς μασχάλας λόχμης δασυτέρας, ὥσπερ ἦν ξυγκείμενον." ἔθρεψαν αἱ γυναῖκες τρίχας, ἵν', ὅταν χειροτονῶσι, δοκῶσιν ἄνδρες εἶναι. καὶ "ἀλειψαμένη τὸ σῶμ' ὅλον, δι' ἡμέρας" ἐχλιαίνετο πρὸς τὸν ἥλιον, ὥςε μελανθῆναι ὡς ἀνήρ.

a λόχμη δασὺς τόπος. πλαγία σύμφυτος καὶ λοχμώδης ⟨sch. A Av. 202⟩. "τῶν δὲ γυναικῶν καὶ τῶν μειρακίων ὁ ὄχλος λόχμην τινὰ εἰσδύντες ἐκαιροφυλάκουν."

b λόχμη. παροιμία "λόχμην πολλὴν φορεῖς" ⟨A Lys. 801⟩ ἀντὶ τοῦ τιλθήσῃ. οὗτος δὲ ὁ Φορμίων τριχώδης ἦν καὶ πυγὰς μελαίνας εἶχε.

λόχμιος· ἐν ἐπιγράμμασι ⟨AP 6 32⟩ "λόχμιον ὑλοβάτα," τουτέςι δασύν.

a λόχος ἐνέδρα, τάξις. Ἀριςοφάνης ⟨Lys. 453⟩ "γνώσεσθ' ὅτι καὶ παρ' ἡμῖν εἰσὶ λόχοι τέτταρες μαχίμων ἀνδρῶν ἔνδον ἐξωπλισμένων." διότι καὶ παρὰ Λακεδαιμονίοις ὑπῆρχον δ' λόχοι, οἷς ἐκέχρητο ὁ βασιλεύς. sch. A Ach. 1073.

b λόχος σύςημα ἐξ ἀνδρῶν η', οἱ δὲ ἐξ ἀνδρῶν ιβ', οἱ δὲ ις'· ὃ καὶ τέλειον καὶ σύμμετρον. καὶ λοχαγός πρωτοςάτης ἡγεμὼν ὁ αὐτός ἐςιν, ὁ πρῶτος καὶ ἄριςος τοῦ λόχου.

λοχῶ λοχήσω. ἁπλοῦν. καὶ ἐλόχησα.

λοχῶντες ἐνεδρεύοντες.

*Λυαῖος* ὄνομα κύριον, ὁ ὑπὸ τοῦ ἁγίου Νέςορος ἀναιρεθείς.

*Λύβας* ὄνομα κύριον. Pausan. 6 6 11.

λύγα σκοτία· ⟨AP 6 266⟩ "ἐφάνη γάρ οἱ αὐτὰ ἰςοῦ παρὰ κρόκαισιν ὡς λύγα πυρός."

*Λυγαῖος* ἀπὸ τόπου.

λυγαίως σκοτεινῶς, καὶ λύγη ἡ σκοτία.

λύγδην λύζοντες, ἢ ἀντὶ τοῦ ὁμοῦ· ⟨S OC 1620⟩ "τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι λύγδην ἔκλαιον ἅπαντες."

λύγδινα· "κὴν ςέρνοις ἔτι κεῖνα τὰ λύγδινα κωνία μαςῶν ἔςηκεν, μίτρης γυμνὰ περιτρομάδος" ἐν ἐπιγράμμασι ⟨AP 5 13⟩. καὶ αὖθις ⟨5 194⟩ "οἷά τε λύγδου γλυπτήν, παρθενίων βριθομένην χαρίτων." ἔςι δὲ εἶδος λίθου ἡ λύγδος. καὶ αὖθις ⟨Babr. 30 1⟩ "γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείαν."

λυγιζόμενος ςρεφόμενος, καμπτόμενος, ἀπὸ τῶν λύγων. λύγος δέ ἐςι φυτὸν ἱμαντῶδες· "δίδη μόσχοισι λύγοισιν" Ὅμηρος ⟨Λ 105⟩. καὶ Πλάτων ἐν Γοργίᾳ ⟨immo Rp. 3 p. 405 C⟩ "πάσας ςροφὰς ςρέφεσθαι, πάσας δὲ διεξόδους διελθὼν ἀποςραφῆναι λυγιζόμενος, ὥςε μὴ παρέχειν δίκην." τινὲς δὲ καὶ τὸ μετὰ τιμωρίας βασανίζειν λυγίζειν· καὶ αἱ μάςιγες, αἷς οἱ ἀθληταὶ τύπτονται, λύγοι καλοῦνται.

λύγισμα αἰσχρὰ φωνή, βδελυρὸν ᾆσμα, ὃ λέγουσιν Ἀλεξανδρεῖς.

λυγίσμασι συγκλάσμασι.

*Λυγκεύς* Σάμιος γραμματικός, Θεοφράςου γνώριμος, ἀδελφὸς Δούριδος τοῦ ἱςοριογράφου τοῦ καὶ τυραννήσαντος Σάμου. σύγχρονος δὲ γέγονεν ὁ Λυγκεὺς Μενάνδρου τοῦ κωμικοῦ, καὶ ἀντεπεδείξατο κωμῳδίας, καὶ ἐνίκησε.

λυγκεύς εἶδος θηρίου. ἢ ὀξυδερκής.

*Λυγκέως* ὀξυωπέςερον βλέπεις. οὗτος ἐγένετο ἀδελφὸς Ἴδα, ὡς δὲ Ἀριςοφάνης ἐν Δαναΐσιν, υἱὸς Αἰγύπτου, τοσοῦτον δὲ ὀξυωπέςατος ἦν ὡς δι' ἐλάτης ἰδεῖν Κάςορα δολοφονήσαντα τὸν ἀδελφόν, ὥς φησι Πίνδαρος ⟨Nem. 10 115⟩. καὶ Ἀπολλώνιος ἐν Ἀργοναύταις ⟨1 154⟩ "εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον ῥηιδίως καὶ νέρθεν ὑπὸ χθονὸς αὐγάζεσθαι." sch. A Plut. 210.

λυγμός ὀλολυγμός ⟨an λύγξ ὁ λυγμός⟩.

λύγξ τὸ ζῷον.

λύγος τὸ ἱμαντῶδες φυτόν· Ὅμηρος (Λ 105) "δίδη μόσχοισι λύγοισι." καὶ Ἀρριανός "ὡς δὲ ἄπορος αὐτοῖς ἡ διάβασις ἐφαίνετο, ξυναγαγὼν ὁ Βρούτιος τοὺς ἐπιχωρίους κελεύει ἡγεῖσθαι τὴν ὁδόν, ὅπως εἰώθεισαν αὐτοὶ παρ' ἀλλήλους φοιτᾶν ὥρᾳ χειμῶνος. οἱ δὲ κύκλους ἐκ λύγων τοῖς ποσὶ περιαρμόσαντες αὐτοί τε ἀβλαβῶς ἐπήρχοντο κατὰ τῆς χιόνος πιεζομένης ὑπὸ τῶν κύκλων, καὶ τοῖς Ῥωμαίοις παρεῖχον οὐ χαλεπὴν τὴν πάροδον. ἦν δὲ ἡ χιὼν ὡς ις´ πόδας πολλαχῇ τὸ βάθος."

λυγρόν χαλεπόν, ὀλέθριον, κακόν, ἰσχυρόν, πενθικόν, ἐλεεινόν.

Λύγωνος.

Λυδία χώρα.

λυδιάζων (A Eq. 526).

λυδίζω τὰ τῶν Λυδῶν φρονῶ.

Λύδιον μέλος, ὥσπερ καὶ Δώριον καὶ Φρύγιον.

Λυδοὶ Μάγνητος τοῦ κωμικȣ̃ διεσκευάσθησαν. τὸ δὲ λυ μακρόν. ἐν ἐπιγράμμασι (AP 7 18) "κεῖται δ' ἠπείροις διδύμοις ἔρις εἴθ' ὅγε Λυδὸς εἴτε Λάκων· πολλαὶ μητέρες ὑμνοπόλων."

Λυδὸς ἐν μεσημβρίᾳ παίζει, ἐπὶ τῶν ἀκολάςων, ὡς ταύταις ταῖς ὥραις ἀκολαςαινόντων· οἱ γὰρ Λυδοὶ κωμῳδοῦνται ταῖς χερσὶν αὐτῶν πληρȣ̃ντες τὰ ἀφροδίσια. ἡ δὲ παροιμία αὕτη ὁμοία τῇ "αἰπόλος ἐν καύματι," ἐπειδὴ ἐν ταῖς τοιαύταις ὥραις οἱ αἰπόλοι ἀκολαςαίνουσι.

λύει (S El. 1005) λυσιτελεῖ. "λύει δὲ χαλινὸν παρθενίας" (Pindar. Isthm. 8 95) ἀντὶ τοῦ διακορεῖ.

λύζει. ἐὰν μὲν διὰ τοῦ ζ, ὀλολύζει, ἐὰν δὲ χωρὶς τοῦ ζ, ἀλύει, τουτέςιν ἀδημονεῖ. ἢ λύζει ἀντὶ τοῦ ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται· "εἶτα λύζει καὶ δακρύει καὶ λέγει πρὸς τοὺς φίλους" (A Ach. 690), καὶ ἐν ἐπιγράμματι (AP 7 218) "καὶ γοερὸν λύζων ἐςονάχησεν ἔρως." καὶ λύγδην ἐπίρρημα, ἀντὶ τοῦ λύζων.

λύθρος φόνος. ἢ ὁ ἐκ τοῦ αἵματος μολυσμός, συνιςάμενος δι' ἱδρῶτος καὶ κόνεως καὶ αἵματος μετὰ ἰχῶρος. ἐν ἐπιγράμμασιν (AP 6 163) "ὅπλα δὲ λύθρῳ λειβόμενα βροτέῳ σηκὸς Ἄρηος ἔχοι."

λυκάβας ἐνιαυτός, ἀπὸ τȣ̃ ταχέως βαίνειν, ἢ λυγαίως βαίνειν, ὃ ἔςι σκοτεινῶς καὶ ἀδήλως. ἢ ἀπὸ μεταφορᾶς τῶν λύκων, οἳ τοὺς ποταμοὺς περῶσιν ἀλλήλων τῆς ὀρᾶς ἐχόμενοι χειμῶνος ὥρᾳ. λυκάβας οὖν ἀπὸ τȣ̃ συμβεβηκότος περὶ τὰ ζῷα· ἑπόμενα γὰρ ἀλλήλοις τάξει δίεισι τὸν ποταμόν. Artemid. 2 12.

Λυκαβηττός καὶ Παρνασός ὄρη μέγιςα, τὸ μὲν τῆς Ἀττικῆς, τὸ δὲ τῆς Φωκίδος. "ἢν σὺ λέγῃς ἡμῖν Λυκαβηττοὺς καὶ Παρνασῶν μεγέθη, τȣ̃τ' ἔςι τὸ χρηςὰ διδάσκειν," ἐπὶ τῶν εἴς τι μεγαλαυχούντων, Ἀριστοφάνης (Ran. 1087).

λύκαινα εἶδος θηρίου.

Λύκαιον ὄνομα τόπου. καὶ Λυκαῖος.

Λυκαονία χώρα.

Λυκάων ὁ Πελασγȣ̃ υἱός, βασιλεὺς Ἀρκάδων, ἐφύλαττε τὰ τȣ̃ πατρὸς εἰσηγήματα ἐν δικαιοσύνῃ, ἀποςῆσαι δὲ βουλόμενος καὶ αὐτὸς τῆς ἀδικίας τοὺς ἀρχομένους ἔφη τὸν Δία ἑκάςοτε φοιτᾶν παρ' αὐτὸν ἀνδρὶ ξένῳ ὁμοιούμενον, εἰς ἔποψιν τῶν δικαίων τε καὶ ἀδίκων. καί ποθ', ὡς αὐτὸς ἔφη, μέλλων ὑποδέχεσθαι τὸν θεὸν θυσίαν ἐπιτελεῖν· τῶν δὲ υἱῶν αὐτοῦ, ν´, ὥς φασιν, ὄντων ἐκ πολλῶν γυναικῶν, βȣλόμενοι γνῶναί τινες οἱ τῇ θυσίᾳ παρόντες εἰ τῷ ὄντι θεὸν μέλλουσι ξενοδοχεῖν, θύσαντές τινα παῖδα ἐγκατέμιξαν τοῖς τοῦ ἱερείου κρέασιν, ὡς οὐ λήσοντες εἴπερ ὄντως θεὸς ἔπεισιν. ὑπὸ δὲ τοῦ δαιμονίȣ χειμώνων μεγάλων καὶ κεραυνῶν ῥαγέντων φασὶ τοὺς αὐτόχειρας ἅπαντας τȣ̃ παιδὸς ἀπολέσθαι. Nicol. Dam. exc. Peir. p. 446.

λυκείην τὸ τοῦ λύκου δέρμα.

Λύκειον γυμνάσιον Ἀθήνησιν, ὅπȣ πρὸ a
τοῦ πολέμου ἐδόκει γυμνάζεσθαι· πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγίνοντο ἐν τῷ Λυκείῳ διὰ τὸ παρακεῖσθαι τῇ πόλει, καὶ ἀποδείξεις τῶν μᾶλλον πολεμικῶν ἀνδρῶν. sch. A Pac. 353.

Λύκειον. ἓν τῶν παρ' Ἀθηναίοις γυμνα- b
σίων τὸ Λύκειον, ὃ Θεόπομπος μὲν Πεισίςρατον ποιῆσαί φησι, Φιλόχορος δὲ ἐπιςατοῦντος Περικλέους γενέσθαι. Harp.

Λυκεῖον ποτόν ἤτοι ἀπὸ κρήνης τῆς ὑπὸ Ἀπόλλωνος εὑρεθείσης, ὑπὸ λύκων πινομένης. ἀπὸ οἴνȣ καὶ μέλιτος. προπερισπωμένως.

λυκηθμός ἡ τῶν λύκων βοή· "ἐξάκουςος γὰρ αὐτοῖς ἐγένετο ὁ λυκηθμός, καὶ τῷ ταράχῳ ἀνεπήδησαν." "καὶ οὖν οἱ Ἄβαροι

*ἐσβάλλουσιν ἀθρόως, χρησάμενοι τῷ συνήθει λυκηθμῷ. φίλη δὲ αὐτοῖς ἡ τοιαύτη ὠρυγή."*

*Λυκίαν.* τὴν Τρωικὴν Ὅμηρος Λυκίαν λέγει· ⟨E 173⟩ "οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται εἶναι ἀμείνων."

*Λύκιον τέρας, καὶ Λύκιοι ἔθνος.*

λυκιουργεῖς. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον ⟨31⟩ κέχρηται τῇ λέξει, Δίδυμος δέ φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλας, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι. ἔοικε δὲ ἀγνοεῖν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δ' ἀπὸ πόλεων καὶ ἐθνῶν, ὡς κλίνη μιλησιουργής καὶ τὰ ὅμοια. μήποτε οὖν γραπτέον καὶ παρὰ Ἡροδότῳ ἐν τῇ η' ⟨immo 7 76⟩, ἀντὶ τοῦ προβόλους δύο λυκοεργέας, λυκιοεργέας, ἵνα, ὥσπερ παρὰ τῷ Δημοσθένει, οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα. Athen. p. 486.

*Λύκις.* λέγεται καὶ *Λύκος*, κωμῳδεῖται δὲ ὡς ψυχρὸς ποιητής· Ἀριστοφάνης ⟨Ran. 12⟩ "τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν, εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος εἴωθε ποιεῖν καὶ Λύκις κ'Ἀμειψίας." οὗτοι οὖν οἱ τρεῖς κωμικοὶ ὑπόψυχροι. ὁ δὲ Φρύνιχος ἐν ταῖς κωμῳδίαις παρ' ἕκαςα ἐφορτικεύετο. κωμῳδεῖται δὲ καὶ ὡς ξένος ἐπὶ φαυλότητι ποιημάτων, καὶ ὡς ἀλλότρια λέγων, καὶ ὡς κακόμετρα. ἐγένοντο δὲ καὶ ἄλλοι τρεῖς Φρύνιχοι. "σκευηφοροῦσ' ἑκάςοτ' ἐν κωμῳδίᾳ."

*Λυκάζειοι ἐθνικόν.*

*Λυκομήδειος·* ⟨AP 6 276⟩ "τῇ Λυκομηδείου παιδὶ φιλαςραγάλῃ."

λύκον εἶδες, ἐπὶ τῶν αἰφνίδιον ἀχανῶν γινομένων. "σὺ δ' οὐκ ἂν δύναιο πρὸς αὐτὸν ἀντιβλέπειν, ἀλλὰ τὸ λεγόμενον 'ἂ φθέγξῃ, λύκον εἶδες,' εἴπερ ἄλλοθί που, κἀνταῦθα δόξει κυρίως εἰρῆσθαι."

λυκόποδες. οὕτως ἐκάλουν τοὺς τῶν τυράννων δορυφόρους· τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔλαβον. λυκόποδες δὲ ἐκαλοῦντο ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους ὥςε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος, ἢ διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. ὁ δὲ Ἀριςοφάνης ἐν Λυσιςράτῃ τοὺς Ἀλκμαιωνίδας φησίν· οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιςρατίδας ἐτείχισαν Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος, εἰς ὃ συνῆλθόν τινες τῶν ἐκ τοῦ ἄςεος, ὥς φησιν Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. sch. A Lys. 665.

λυκορραίςης ὁ τοὺς λύκους διαφθείρων· ⟨AP 6 106⟩ "δέρμα λυκορραίςης ἐκρέμασεν Τελέβων."

*Λύκος ὁ καὶ Βουθήρας,* Ῥηγῖνος ἱςορικός, πατὴρ Λυκόφρονος τοῦ τραγικοῦ, ἐπὶ τῶν διαδόχων γεγονὼς καὶ ἐπιβουλευθεὶς ὑπὸ Δημητρίου τοῦ Φαληρέως. οὗτος ἔγραψεν ἱςορίαν Λιβύης καὶ περὶ Σικελίας.

λύκος ἀετὸν φεύγει, ἐπὶ τῶν ἀφύκτων.

λύκος ἔχανεν, ἐπὶ τῶν ἐλπιζόντων μέν τι ἕξειν, διαμαρτόντων δὲ τῆς ἐλπίδος. λέγουσι δὲ τὸν λύκον, ἐπειδὰν ἁρπάσαι τι βούληται, κεχηνότα παραγίνεσθαι ἐπ' αὐτό· ὅταν οὖν μὴ λάβῃ ὃ προαιρεῖται, κατὰ κενοῦ αὐτὸν χανεῖν φασίν. ἐπὶ τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δὲ λέγουσιν. Ἀριςοφάνης Θεσμοφοριαζούσαις β'.

λύκος περὶ φρέαρ χορεύει, ἐπὶ τῶν πονούντων περί τι μάτην, ὅτι ἄπρακτος περίεισιν, ὅταν διψήσῃ μὴ δυνάμενος πιεῖν, ἢ ἐπὰν διώκοντος αὐτοῦ τι τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ.

λύκος χανών, ἐπὶ τῶν ἀπράκτων· Αἰλιανός "ὃ δὲ ἐδεῖτο τοῦ θεοῦ ἐπικουρῆσαί τε αὐτῷ καὶ λύκους κεχηνότας ἀποφῆναι τοὺς τὰ ἐκείνου ἑαυτοῖς καταγράφοντας, ἵνα μὴ αὐτὸς ὄφλῃ γέλωτα ἄλλοις, ἀλλ' ἐκεῖνοι αὐτῷ."

λυκόςομος καὶ κρασίχολος ἐπίθετα ἀφύης, ὃ ἐςιν ἐγγραύλεως ⟨cf. v. ἀφύα⟩. καὶ αὖθις ⟨Plato Rp. 8 p. 565⟩ "οὐ λύκος ἐξ ἀνθρώπων κατὰ τὸν Ἀρκαδικὸν μῦθον, ἀλλὰ τύραννος ἐκ βασιλέως ἀπέβη πικρός."

*Λύκου δεκάς* παροιμιῶδες, ἐπεὶ Λύκος ὁ ἥρως ἵδρυτο παρὰ τοῖς δικαςηρίοις, ἔνθα προσήδρευον οἱ συκοφάνται. ἀφώριςο δὲ αὐτῷ τριώβολον τῆς ἡμέρας.

λύκου πτερά ἐπὶ τῶν ἀδυνάτων λέγεται, ὅταν μέχρι τῶν λόγων ὁ φόβος ᾖ.

*Λυκοῦργος* Λυκόφρονος Ἀθηναῖος, τὸ a γένος Ἐτεοβουτάδης, τῶν μετὰ Δημοσθένους ἐγκριθέντων ῥητόρων. ἀνέγκλητος δὲ βιοὺς τελευτᾷ νόσῳ, υἱοὺς καταλιπών, ὑπὲρ ὧν συκοφαντηθέντων Δημοσθένης ὁ ῥήτωρ ἀπὸ τῆς φυγῆς εἰπὼν ἐξεῖλεν αὐτούς. λόγοι δὲ αὐτοῦ εἰσὶ γνήσιοι οἱ σωζόμενοι κατὰ Ἀριςογείτονος, κατὰ Αὐτολύκου, κατὰ Λεωκρά-

τως, κατὰ Λυκόφρονος β', κατὰ Πασικλέους, κατὰ Μεναίχμου, κατὰ Δημάδου, ἀπολογία πρὸς τὸν αὐτὸν ὑπὲρ τῶν εὐθυνῶν, πρὸς Ἰσχυρίαν, πρὸς τὰς μαντείας, περὶ τῆς διοικήσεως, περὶ τῆς ἱερείας, περὶ τῆς ἱερωσύνης. ἐπιστολαί, καὶ ἄλλα τινά.

b Λυκοῦργος Σπαρτιάτης, Προκλέους ἀπόγονος, νομοθέτης, ὡς φασίν, ἢ ἐκ Κρήτης ἢ παρὰ τοῦ θεοῦ τοὺς νόμους λαβών· ὃν καὶ θεὸν ἡ Πυθία προσηγόρευσεν. οὗτος καὶ γυμνάσια παρθένων ἐνομοθέτησε, καὶ τὸ μὴ δεῖν συνεχεῖς ὁμιλίας πρὸς τὰς γυναῖκας ποιεῖσθαι, καὶ τὸ ἐπ' ἀσπίδος τρέφεσθαι καὶ ἐν Εὐρώτᾳ ποταμῷ λοῦσθαι τοὺς τεχθέντας, καὶ τὴν γυμνοπαιδίαν, ἢ τοὺς ἐφήβους ἠνάγκαζε διὰ παντὸς μὴ ἔχοντας χλανίδα γυμνασίοις προσκεῖσθαι, καὶ ἀγωνίζεσθαι δημοσίους ἀρετῆς ἀγῶνας, ὑπαιθρίους τε κοιμᾶσθαι, τροφήν τε ἔχειν τὴν ἐκ θήρας, τήν τε διαμαστίγωσιν, ἀρετῆς γυμνασίαν ἀντὶ φόνου σκυθρωποῦ· ἔφηβος γὰρ πρότερον ἐθύετο τῇ Ἀρτέμιδι τῇ Ὀρθωσίᾳ. καὶ μέντοι καὶ τὰ φιλίτια, ἅ ἐστι συμπόσια μεμιγμένως ἔχοντα ταῖς ἡδοναῖς τοὺς πόνους· οὐ γὰρ στρωμνή τις ὑπέκειτο εὐωχουμένοις, ἀλλ' ὑπὸ τοῖς ἀγκῶσι κοιλανθεὶς ἢ λίθος ἢ ξύλον. ἐνομοθέτησε δὲ καὶ τὸ ὑπ' αὐλοῖς παρατάσσεσθαι, θανάτου τὴν ἄτιμον ζωὴν εἶναι χείρονα τιθέμενος καὶ ἀποφαινόμενος, εἶναι δ' αὐτῷ λύσιν, εἰ μετὰ ταῦτα ἀριστεύσειεν. τοῦτο Ἀριστοδήμῳ συνέβη, ὃς ὁ τρέσας ἐπικληθεὶς ἐκ λιποταξίου τοῦ ἐν Πύλαις τῇ ἐν Πλαταιαῖς ἀριστείᾳ τὴν ἀτιμίαν ἔλυσε. διὰ τοὺς τούτου νόμους αἱ μητέρες ἐπὶ τοὺς πολέμους προπέμπουσαι τοὺς παῖδας περὶ τὰς ἀσπίδας ἢ τὰν ἢ ἐπὶ τάν ἔλεγον, ἀντὶ τοῦ ἢ ταύτην κόμισαι ὑποστρέφων καὶ μὴ γενοῦ ῥίψασπις, ἢ ἐπὶ ταύτῃ κομίσθητι νεκρός. οὗτος τοῖς μὲν Εἵλωσι τὰς ἄλλας ἐργασίας, τοῖς δὲ εὐγενέσι τὴν πολεμικὴν ἄσκησιν προσέταξε· ξένους δὲ ἀπήλασε, τὴν ἐκ τῆς ἐπιμιξίας διαφθορὰν ὑφορώμενος. βραχυλογίαν τε ἐτίμησε καὶ πενίαν, τὴν μὲν σοφίας εἶναι σημεῖον τὴν δὲ ἀρετῆς διδάσκαλον οἰηθείς. καὶ ὁμολογεῖ τούτοις ὁ θεός· φυλάττεσθαι γὰρ ἀνεῖλε πολλάκις φιλοχρηματίαν. ἀριστοκρατίαν δὲ κατασκησάμενος, καὶ βασιλέας δύο τῶν ἀφ' Ἡρακλέους ἔταξεν εἶναι καὶ ἐφόρους τοὺς γέροντας, οἷς τὸν δῆμον ὑπέταξεν, ἐξ ἑκάστης πολιτείας τὸ ἄριστον ἐκλεξάμενος. ὥρκισε δὲ τοὺς Λακεδαιμονίους μὴ λῦσαι νόμον, καὶ ἀπεδήμησε· χρήσαντος δὲ αὐτῷ τοῦ θεοῦ Λακεδαιμονίους εὐτυχήσειν ἐφ' ὅσον ἂν μὴ παραβαίνωσι τοὺς Λυκούργου νόμους, ἐλθὼν εἰς Κρήτην ἀπεκαρτέρησεν, ὅπως μὴ αὐτὸς ἀναγκασθείη λῦσαι.

ὅτι Λυκούργῳ τῷ νομοθέτῃ τοιάδε ἡ c τελευτὴ τοῦ βίου ἐγένετο. βουλόμενος, ὥς φασί, θεὸν ἐρέσθαι περὶ τινῶν ὑπολοίπων νόμων, ὥρκωσε Λακεδαιμονίους ἄχρις ἐπάνεισι μηδένα λῦσαι τῶν κειμένων. ὀμοσάντων δέ, ἐπεὶ χρηστηριαζόμενος ἤκουσε παρὰ τοῦ θεοῦ ὡς εὐδαίμων ἡ πόλις ἔσοιτο εἰ τοῖς ἐκείνου νόμοις ἐμμένοι, ἔγνω μηκέτι ἐπανελθεῖν, τὸ βέβαιον τῆς φυλακῆς ἐκ τοῦ ὅρκου ποιησάμενος, καταβὰς δὲ εἰς Κρῖσαν αὐτὸν διεργάζεται. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι διά τε τὴν προτέραν ἀρετὴν καὶ τὴν τότε κριθεῖσαν περὶ τὸν θάνατον ναόν τε αὐτῷ ἐτεμένισαν, καὶ βωμὸν ἱδρυσάμενοι θύουσιν ὡς ἥρωι ἀνὰ πᾶν ἔτος. περιφανῶς γὰρ δὴ Σπαρτιάταις αἴτιος ἐγένετο τῆς εἰς ἅπαν ἀρετῆς τε καὶ ἡγεμονίας, οὐδὲν ἄμεινον τῶν ἄλλων πάλαι διακειμένοις, οὐ μόνον ὅτι αὐτοῖς νόμους ἔθετο ἀρίστους, ἀλλὰ καὶ ὅτι ἄκοντας προυτρέψατο χρῆσθαι αὐτοῖς τρόπῳ τοιῷδε. δύο σκύλακας λαβὼν ἀπὸ τῆς αὐτῆς μητρὸς ἔτρεφε, χωρὶς δὲ ἀλλήλων, ἀνομοίοις, ἔθεσι, τὸν μὲν κατ' οἶκον, ὄψα τε διδοὺς καὶ τὴν ἄλλην λιχνείαν, τὸν δὲ ἐν κυνηγεσίοις, θηρᾶν ἀναγκάζων καὶ στιβεύειν ἐν ὄρεσιν. ὡς δ' ἑκάτερος αὐτῶν ὅμοιος ἐγένετο τῇ τροφῇ, Σπαρτιάταις ἐκκλησιάζουσι πρὸς τοὺς περιοίκους πολέμου πέρι καὶ ἀμηχανοῦσι παραγαγὼν ἀμφοτέρους εἰς μέσον, καὶ σὺν αὐτοῖς δόρκους τε καὶ ζωμοὺς καὶ ὄψα ἐσκευασμένα, ἔλεξεν "ἀλλ' ὅτι μέν, ὦ Σπαρτιᾶται, τοῦ εὖ τε καὶ κακῶς πράττειν οὐκ ἄλλο ἐστὶν αἴτιον πλὴν τὸ ἔθεσι χρῆσθαι φαύλοις ἢ σώφροσι, πάρεστιν ὑμῖν ὁρᾶν. οἵδε γέ τοι" τοὺς σκύλακας δείξας "τῆς αὐτῆς μητρὸς ὄντες, ἐναντίως δὲ ἀλλήλοις τεθραμμένοι, παρ' αὐτὸ τοῦτο ἀνόμοιοι ἐκβεβήκασιν· ὁ μὲν γὰρ θηρᾶν μαθών, ὁ δὲ λιχνεύειν, οὐδὲν ἂν ἀντὶ τοῦδε, εἰ παρείκοι, ποιήσειεν." καὶ ἅμα προσέταξε τῷ κυνουλκῷ μεθεῖναι ἀμφοτέρους ἐπὶ τὰ ἡτοιμασμένα. τῶν δὲ ὁ μὲν κατοικίδιος ἐπὶ τοὔψον ὥρμησεν, ὁ δὲ θηράτωρ ἐπὶ τὸν δόρκον, καὶ καταβαλὼν ἐσπάραττεν. καὶ Λυκοῦργος πάλιν "ταῦτα" ἔφη "νομίσατε, ὦ

43

Σπαρτιᾶται, εἰς ὑμᾶς τείνειν καὶ τὰς ἄλλας πάντας ἀνθρώπας. ὁποίοις γὰρ ἂν ἔθεσι καὶ νόμοις χρῆσθε, τοιούτας ἀποβαίνειν ἀνάγκη πρός τε πόνους καὶ τρυφήν· πάντα γὰρ ἀνθρώποις μαθητὰ οἱ θεοὶ ἔδοσαν. ἕπεται δὲ τῷ μὲν πονεῖν ἐθέλειν τὸ ἐλευθέροις εἶναι καὶ τὸ εὖ πράττειν καὶ κρατεῖν πάντων, τῷ δὲ ἡδυπαθεῖν τό τε δουλεύειν καὶ κακοπραγμονεῖν καὶ μηδενὸς ἀξίοις εἶναι." ὃ μὲν τοιαῦτα λέγων προυτρέπετο τοὺς Σπαρτιάτας μεταβαλεῖν τόν τε καθεςῶτα τρόπον τȣ̃ βίου καὶ βελτίοσι νόμοις ἐθισθῆναι· οἱ δὲ πεισθέντες οὐ τῶν περιοίκων μόνον ἀλλὰ καὶ πάντων Ἑλλήνων διαφανῶς ἄριςοι ἐγένοντο, ἡγεμόνες τε συνεχῶς, ἐξ ὅτου παρεδέξαντο τοὺς νόμους, ἐπ' ἔτη φ', καὶ οὐ πολλȣ̃ χρόνου ἐχώρησαν ἐπὶ μέγα δυνάμεως. Nicol. Dam. exc. Peir. p. 446.

d *Λυκοῦργος* Σπαρτιάτης νομοθέτης, ὃς γέγονε τῶν Τρωικῶν μετὰ ἔτη ν'. ἦν δὲ θεῖος πρὸς πατρὸς Χαριλάου τοῦ βασιλεύσαντος Σπάρτης, Εὐνόμȣ ἀδελφός, καὶ ἐκράτησε τῶν Σπαρτιατῶν ἔτη μβ', ὅτε καὶ τȣ̀ς νόμους ἔθετο, ἐπιτροπεύων τὸν ἀδελφιδοῦν· καὶ αὐτὸς δ' ἐβασίλευσεν ἔτη ιη'. μεθ' ὃν Νίκανδρος ἔτη λή. ἔγραψε νόμους.

*Λυκόφρων* Χαλκιδεὺς ἀπὸ Εὐβοίας, υἱὸς Σωκλέους, θέσει δὲ Λύκȣ τοῦ Ῥηγίνȣ, γραμματικὸς καὶ ποιητὴς τραγῳδιῶν· ἔστι γοῦν εἷς τῶν ἑπτὰ οἵτινες Πλειὰς ὠνομάσθησαν. εἰσὶ δὲ αἱ τραγῳδίαι αὐτȣ̃ Αἴολος, Ἀνδρομέδα, Ἀλήτης, Αἰολίδης, Ἐλεφήνωρ, Ἡρακλῆς, Ἱκέται, Ἱππόλυτος, Κασανδρεῖς, Λάιος, Μαραθώνιοι, Ναύπλιος, Οἰδίπȣς α' β', Ὀρφανός, Πενθεύς, Πελοπίδαι, Σύμμαχοι, Τηλέγονος, Χρύσιππος. διασκευὴ δ' ἐςὶν ἐκ τούτων ὁ Ναύπλιος. ἔγραψε καὶ τὴν καλȣμένην Ἀλεξάνδραν, τὸ σκοτεινὸν ποίημα.

λυκόφως τὸ περὶ τὴν αὐγὴν φῶς.

*Λύκτιος.*

*Λύκωνος.*

*Λυκωρεύς.* καὶ *Λυκώρεια* ὄνομα πόλεως.

λυμαντήρ ὁ βλαπτικός. καὶ λυμαντικός.

a λύματα ἐνέχυρα, οἷον λύσιμα καὶ λυτρώσιμα.

b λύματα καθάρματα, αἱ τῆς γαςρὸς εἰς ἀφεδρῶνα ἐκκρίσεις. "καὶ παρ' αὐτὸν τὸν κοινὸν τῶν ἀνθρώπων νόμον πρέσβεις ἠτίμασαν, τὴν τήβεννον λύμασιν ἀνθρωπείοις μολύναντες" ⟨cf. v. τήβεννος⟩.

λῦμα τῷ γήρᾳ τρέφῃ ⟨S OC 805⟩ ἀντὶ τοῦ ἀπαίδευτος εἶ μέχρι γήρως.

λυμαινόμενον τοῖς μειρακίοις ⟨A Nub. 928⟩ ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτω δὲ αὐτοῖς σύνηθες, οὐχὶ τὰ μειράκια λυμαινόμενον. καὶ λυμαίνων φθείρων, βλάπτων.

λυμεών ὁ φθορεύς· Σοφοκλῆς ⟨Ai. 572⟩ "καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς θήσουσ' Ἀχαιοῖς μήθ' ὁ λυμεὼν ἐμός." Αἴας φησί.

λύμη βλάβη, φθορά, ὕβρις. "ὃ δὲ αὐτὰς συλλαβὼν αἰκίζεται λύμῃ πάσῃ καὶ κατατάσει καὶ ςρεβλώσει ποικίλῃ καὶ δικαιώσει τῇ πρεπωδεςάτῃ, ἐν περιόπτῳ λόφῳ ςαυρώσας αὐτούς."

λυόμενος ἀντὶ τȣ̃ λυτρȣ́μενος καὶ ἀπολύων. οὕτω Πλάτων.

λύπη συςολὴ ἄλογος ψυχῆς· διὸ ȣ̓ λυπηθήσεσθαι τὸν σπουδαῖον. εἴδη δὲ αὐτῆς φθόνος ζῆλος ζηλοτυπία ἄχθος ἐνόχλησις ἀνία ὀδύνη σύγχυσις ⟨Diog. L. 7 111⟩. "τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος; δοκῶ μέν, οὐδὲν ῥῆμα σὺν κέρδει κακόν" ⟨S El. 59⟩. τὸ λυ μακρόν.

λυπηρότεροι ςαλαγμοῦ. διὰ τὴν ἐν τῷ συνεχῶς καταςάζεσθαι δυσχέρειαν λέγεται.

λυπινάρια εἶδος ὀσπρίου, ἃ θέρμους καλοῦσιν.

λυπρά εὐτελής, πενιχρά. "οὕτω δὲ ἦν Κύντιος Κικιννᾶτος ὁ γεγονὼς δικτάτωρ μέτριος --- ὃς ἀπονιψάμενος ἐπάνεισι, καὶ συμβαλὼν τοῖς πολεμίοις νικᾷ κατὰ κράτος, καὶ τὸν ςρατηγὸν τῶν πολεμίων ἄγει αἰχμάλωτον" ⟨cf. v. Κύντιος⟩. "λυπρά τε σιτούμενος καὶ σκληρῶς ἐγκαθεύδων, καὶ πᾶσι κεχρημένος πολὺ ἐνδεέςερον ἢ πρὸς τὴν ἐξουσίαν" ⟨Io. Antioch. exc. Peir. p. 789⟩.

λυπρή πενιχρά· ⟨AP 6 98⟩ "πέπατο γὰρ οὐ μέγα τοῦτο κλήριον ἐν λυπρῇ τῇδε γεωλοφίῃ."

λυπρόν ἐπαχθές, λυπηρόν. καὶ λυπρόγαιον· Ἀππιανός ⟨Hisp. 59⟩ "τὸ γὰρ λυπρόγαιον καὶ πενιχρὸν ὑμᾶς εἰς λῃςείαν ἄγει. δώσω δ' ἐγὼ πενομένοις φίλοις γῆν ἀγαθήν."

λύρα. βραχὺ τὸ λυ· "εἰδήσεις Ἀλκμᾶνα λύρης ἐλατῆρα Λακαίνης" ⟨AP 7 18⟩.

Λύσανδρος ναύαρχος Λακεδαιμονίων. Harp.

λυσανίας πατρῴων μεγάλων κακῶν" ⟨A Nub. 1165⟩ ὁ λύων τὰ τοῦ πατρὸς τὰς ἀνίας. ὠνοματοπεποίηται ἡ λέξις. Σοφοκλῆς "Ζεὺς νόσον ἄγοι τὸν νικομάχαν καὶ παυσανίαν καὶ Ἀτρείδαν."

λύσῃ ἀντὶ τοῦ λυσάτω· Νόμων ἐνάτῳ ⟨extr.⟩ "παραλαβὼν ὁ κεκτημένος παρὰ τοῦ πληγέντος δεδεμένον αὐτὸν μὴ λύσῃ, πρὶν ἂν ὁ δοῦλος πείσῃ τὸν πληγέντα."

λυσθείς ⟨ἐλυσθείς⟩ κατενεχθείς.

Λυσίας Κεφάλου Συρακούσιος ῥήτωρ, μαθητὴς Τισίου καὶ Νικίου, εἷς τῶν μετὰ Δημοσθένους δέκα ῥητόρων. ἐτέχθη δ' ἐν Ἀθήναις, μετοικήσαντος τοῦ Κεφάλου ἐκεῖσε, γεγονὼς δὲ ἐτῶν ιε' εἰς Θουρίους ᾤχετο σὺν ἀδελφοῖς δύο, κοινωνήσων τῆς ἀποικίας. εἶτα ἐκπεσὼν ἐκεῖθεν ἐπ' ἀττικισμῷ ἐπανῆλθεν εἰς Ἀθήνας, ἄγων ἔτος μζ'. λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τ', καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξούμενοι. τῷ δὲ καθαρῷ τῆς φράσεως οὐδένα ἔσχε μιμητὴν πλὴν Ἰσοκράτους. ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας ἐγκώμιά τε καὶ ἐπιταφίους, καὶ ἐπιστολὰς ζ', μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς, ὧν αἱ ε' πρὸς μειράκια.

λυσίζωνος γυνή ἡ ἀνδρὶ πλησιάσασα· αἱ γὰρ παρθένοι μέλλουσαι πρὸς μῖξιν ἔρχεσθαι ἀνετίθεσαν τὰς παρθενικὰς αὐτῶν ζώνας τῇ Ἀρτέμιδι.

Λυσικράτης. οὗτος φαρμάκῳ τινὶ ἐμέλαινε τὰς ἑαυτοῦ τρίχας· Ἀριστοφάνης ⟨Eccl. 763⟩ "οὐδ' ἂν εἰ τὸ φάρμακον ἔψουσ' ἔτυχες ᾧ Λυσικράτης μελαίνεται." καὶ αὖθις ⟨657⟩ "ἢ Λυσικράτους ῥῖς ἴσα τοῖσι καλοῖσι φρονήσει," ἐπειδὴ σιμὸς ἦν καὶ αἰσχρὸς καὶ κλέπτης καὶ ἄσημος. καὶ παροιμία "Λυσικράτης δωροδοκῶν" ⟨A Av. 513⟩. στρατηγὸς Ἀθηναίων.

Λυσιμάχεια ὄνομα πόλεως.

Λυσίμαχος. οὗ μὲν Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν ⟨115⟩ μνημονεύει, Ἀριστείδου ἦν υἱὸς τοῦ δικαίου, οὗ δὲ Λυκοῦργος, μελοποιὸς ἦν εὐτελής. Harp.

λύσιοι τελεταί αἱ Διονύσου· Βοιωτοὶ γὰρ ἁλόντες ὑπὸ Θρᾳκῶν καὶ φυγόντες ἐς Τροφωνίου, κατ' ὄναρ ἐκείνου Διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος, μεθύουσιν ἐπιθέμενοι τοῖς Θρᾳξὶν ἔλυσαν ἀλλήλους καὶ Διονύσου λυσίου ἱερὸν ἱδρύσαντο, ὡς Ἡρακλείδης ὁ Ποντικός. Ἀριστοφάνης δὲ διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον.

Λύσιππος. τῶν δραμάτων αὐτοῦ ἐστὶ Βάκχαι, ὡς Ἀθήναιος λέγει ἐν γ' Δειπνοσοφιστῶν καὶ ἐν τῷ η'. καὶ ἕτερα αὐτοῦ δράματα, Θυρσοκόμος. . . .

Λυσίστρατος καὶ Θούμαντις πένητες· Ἀριστοφάνης ⟨Eq. 1272⟩ "μηδὲν ἐς Λυσίστρατον, μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ."

λυσιτελές ἀγαθόν, ὠφέλιμον ἢ συμφέρον, ὅτι λύει τὰ τελούμενα εἰς αὐτό, ὥστε τὴν ἀντικατάλλαξιν τὴν ἐκ τῆς πραγματείας ὑπεραίρειν τῇ ὠφελείᾳ ⟨Diog. L. 7 99⟩. καὶ Διόδωρος ὁ Σικελιώτης φησίν ⟨t. 2 p. 629⟩ "ὁ δὲ Τρύφων νίκην χρυσῆν κατασκευάσας ἐξαπέστειλεν εἰς τὴν Ῥώμην· ὑπελάμβανε γὰρ τοὺς Ῥωμαίους ἅμα μὲν διὰ τὸ λυσιτελὲς ἅμα δὲ διὰ τὸ εὐοιώνιστον εἶναι προσδέξεσθαι τὴν νίκην."

λυσόμενος ⟨Hom. A 13⟩ λυτρωσόμενος.

λῦσον νόμους ἱερῶν ὕμνων ⟨A Av. 210⟩ ἀντὶ τοῦ ᾆσον.

λύσσα ἡ μανία.

λυσσάνιε ⟨A Lys. 1173⟩ μαινόμενε. κύνα δὲ λυσσητήν· ⟨Synes. ep. 127⟩ "ἀσπίδα φρῦνον ὄφιν καὶ Λαδικέας περίφευγε καὶ κύνα λυσσητὴν καὶ πάλι Λαδικέας."

λυσσομανεῖς ὑπὸ μανίας λελυσσηκότας· ⟨AP 6 219⟩ "ῥομβητοὺς δονέων λυσσομανεῖς πλοκάμους."

λῦτο ἐλύθη, ἐπαύθη· Ὅμηρος ⟨Ω 1⟩ "λῦτο δ' ἀγών."

λύτρα μισθός· ἢ τὰ παρεχόμενα ὑπὲρ ἐλευθερίας ἐπὶ τῷ λυτρώσασθαι βαρβάρων δουλείας.

λυτρωτής. ὁ Δαβίδ φησι "κύριε βοηθέ μου καὶ λυτρωτά μου." κύριος ὡς ποιητὴς καὶ δημιουργός, βοηθὸς δὲ ὡς τὴν ἐκ τοῦ νόμου βοήθειαν δεδωκώς· νόμον γάρ, φησίν, εἰς βοήθειαν ἔδωκε. λυτρωτὴς δὲ ὡς διὰ τῆς παλιγγενεσίας τοῦ βαπτίσματος τῆς προτέρας ἐλευθερώσας φθορᾶς, καὶ τῆς τῶν δαιμόνων δουλείας λυτρούμενος, καὶ ἀφθαρσίαν καὶ ἀθανασίαν δωρούμενος. Theodoret. in Ps. 18 extr.

λυττῶντες μαινόμενοι.

λύχνιον. οὐδετέρως λέγεται τὸ λύχνιον·

"κελεύει τῶν λυχνίων τῶν ἀνακειμένων αὐτῷ (ἀργυρᾶ δὲ ἦν ταῦτα) τὸ ἕτερον φέρειν ἀράμενον ἐμφανῶς."

λυχνιτάριον.

λυχνίτης λίθος.

λύχνον ἐν μεσημβρίᾳ ἅπτεις, ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ τι ποιούντων.

λυχνοῦχος φανός, λαμπτήρ.

λύχνων ἁφάς.

λωβᾶται βλάπτει, λυμαίνεται, ὑβρίζει.

λώβη εἶδος νόσυ, καὶ λωβός ὁ ταύτης μετέχων.

λωβητῆρα ὑβριςήν. καὶ λωβήτωρ ὁ βλαπτικός· ⟨AP 6 168⟩ "βοτρύων ἀκάμαντα φυτῶν λωβήτορα κάπρον."

Λωγάνιος ὄνομα κύριον.

a λώιον κρεῖσσον, καὶ λωίτερος κρείττων· ⟨AP 7 713⟩ "λωίτερος κύκνου μικρὸς θρόος ἠὲ κολοιῶν κρωγμὸς ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις."

b λώιον βέλτιον.

λῶμα τὸ κράσπεδον.

λῴονος τοῦ κρείττονος λόγου.

λῶος ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ αὔγουςος.

λώπην ἱμάτιον, περίβλημα· ἐν ἐπιγράμματι ⟨AP 5 294⟩ "φρυκτὸς αἰθαλόεντας ἐμῆς ῥιπίσμασι λώπης ἔσβεσα, καὶ διαδὺς λέχριος ἐν θαλάμῳ."

λωπίζω τὸ ἐκδύω.

λώπιον τὸ εὐτελὲς ἱμάτιον, λαῖφος· ⟨AP 6 245⟩ "δέσποτα, χειμερίης ἄνθεμα ναυτιλίης ἀρτήσειν ἁγίοις τόδε λώπιον ἐν προπυλαίοις εὔξατο."

λωποδύτης ἱματίων κλέπτης. ἢ λωποδύτης ὁ νεκροὺς ἐκδύων. καὶ λωποδυτεῖν τὸ ἱμάτια κλέπτειν. "οἱ δὲ τῶν Περσῶν τεθνεῶτες λωποδυτόμενοι καὶ ταφῆς ἀμοιρῆντες τοῖς θηρίοις ἑςίασις ἦν αὐτοσχέδιος" ⟨Theophyl. Sim. 3 7⟩.

λῶπος ἱμάτιον.

λῶρος.

λῷςος βέλτιςος. καὶ ὄνομα κύριον.

Λώτ. οὗτος ἀνεψιὸς ἦν Ἀβραάμ. ἀπῆεσαν οὖν οἱ ἄγγελοι εἰς Σόδομα, ἀφανίσαι τὰς πόλεις διὰ τὰς ἁμαρτίας αὐτῶν. ὁ δὲ Ἀβραὰμ ἱκέτευσε δίκαιον μετὰ ἀσεβοῦς μὴ συναπολέσαι, τάχα διὰ τὸν Λώτ. οἱ δὲ ἄγγελοι ἐν Σοδόμοις γενόμενοι ξενίας ἔτυχον παρὰ τοῦ Λώτ. οἱ δὲ Σοδομῖται ἀποσπᾶν αὐτοὺς ἐπειρῶντο πρὸς διαφθοράν. τοῦ δὲ διὰ φιλοξενίαν ἀντιπροϊσχοντος τὰς θυγατέρας, ὡς οὐκ ἐπείθοντο, οἱ μὲν ὑπὸ τῶν ἀγγέλων ἠφανίζοντο τὰς ὄψεις, ὃ δὲ ἅμα ταῖς θυγατράσι καὶ τῇ συμβίῳ ἐξεπέμπετο, ἥτις μετασραφθεῖσα μετεβλήθη εἰς σήλην ἁλός. ὁ δὲ Λὼτ εἰς Σηγὼρ διασωθεὶς τῇ τε πόλει παραίτιος ἐγένετο σωτηρίας, τῶν ἀνδρῶν ἀφανισθέντων, ὡς λόγος, τῶν δὲ λοιπῶν δ' διαφθαρεισῶν καὶ τῆς λίμνης ἅμα τῇ γῇ ἀνατραπείσης, κἀν τῷ ὄρει μεθυσθεὶς ταῖς θυγατράσι συνῆλθε, τεκνοῖ τε τὸν Μωὰβ καὶ τὸν Ἀμμών. οἱ δὲ υἱοὶ Ἰσραὴλ ὄντες ἐν Σαττὶν ἐξεπόρνευσαν ταῖς θυγατράσι τῶν Μωαβιτῶν, εἰδωλολατρήσαντες καὶ προσκυνήσαντες τῷ Βεελφεγώρ, καὶ τῶν θυσιῶν μετέλαβον. Μωυσῆς δὲ παρώξυνε κατ' αὐτῶν τοὺς οὐχ ἁμαρτόντας, καὶ ἀνῃρέθησαν δισμύριοι καὶ τετρακισχίλιοι. Φινεὲς δὲ ὁ ἱερεὺς καταλαβὼν Ἰσραηλίτην ὄνομα Ζαμβρῆ συμπεπλεγμένον Μαδιανίτιδι ᾗ ὄνομα Χασβίθ, ἀμφοτέρους διέπειρε καὶ τὸν θυμὸν ἔπαυσε τοῦ θεοῦ.

λωτεῦντα ⟨Hom. *M* 283⟩ ἀνθοῦντα.

λωτίη σέφανος ἐκ λωτῶν.

λωτός βοτάνη εὐώδης, ἣν ἔνιοι μυρόλωτον καλοῦσι. καὶ λωτοί ἐπιθαλάμιοί τινες αὐλοί· "ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἄχευν λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι" ἐν ἐπιγράμματι ⟨AP 7 182⟩ καὶ αὖθις ⟨AP 6 94⟩ "διδύμους τε λωτοὺς κεροβόας, ἐφ' οἷς ποτὲ ἐπωλόλυξεν αὐχένα ςροβιλίσας." καὶ αὖθις ⟨AP 7 186⟩ "ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος ἡδὺς ἐπήχει λωτὸς καὶ γαμικοῖς ὕμνος ἔχαιρε κρότοις."

λωτοφάγος.

λωφῆσαι· ⟨Procop. Arc. 15⟩ "ἦν δὲ Ἰυςινιανὸς ἐς μὲν ἀνθρώπων φθορὰν ἑτοιμότατος, ἐς δὲ τὸ λωφῆσαι ἀμήχανος." κυρίως δὲ εἴρηται λωφῆσαι ἐπὶ βοῶν τὸ τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποθέσθαι· λόφος γὰρ ὁ τράχηλος.

λωφήσαντος ἀναπαυσαμένου, ἡσυχάσαντος.

λώφησις παῦσις, πτῶσις.

λωφήσομεν ἀντὶ τοῦ παύσομεν.

μά. τοῦτο Ὅμηρος ὡς συλλαβῆς τάξινἔχον τίθησι. ποτὲ μέντοι ἀντὶ τοῦ μά τῷ ναί χρῆται, ὡς ⟨*A* 234⟩ "ναὶ μὰ τόδε σκῆπτρον," ὅτε ὄμνυσιν. ὅτε δὲ ἀπόμνυσί τι,